


BIBLIOTECA NAZIONALE VITT. EMANUELE
69
6 F
1

*

ΚΛΑΥΔΙΟΥ

ΠΤΟΛΕΜΑΙΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

φιλοσόφου ἐν τοῖς μάλιστα πεπαιδευμένου, περὶ τῆς γεωγραφίας βιβλία ὀκτὼ, μετὰ πάσης ἀκριβείας ἐντυπωθέντα.

CLAVDII PTOLEMAEI ALEXANDRINI philosophi cum primis eruditi, De Geographia libri octo, summa cum uigilantia excusi.







BASILEAE ANNO MDXXXIII

ΜΑΞΙΜΟΥ ΤΟΥ ΠΛΑΝΟΥΔΗ

εἰς τὸν πίνακα τῆς γεωγραφίας Κλαυδίου Πτολεμαίου.

ἣν ἐθέλῃς ὁρόων με, περιτρόχεον ὄμμασι μὴ ἄθρει.
ἑβδομὰς ἃ κλιμάτων γὰρ ἀεὶ δοκέουσα κινεῖσθαι,
οἷά τε κύκλος, καὶ βλέφαρον σὸ συμπεριάξει.
ἐκτὸς ἐμοῦ θήσει δὲ, καὶ ἔμπαλιν εἰς πόνον ἥξεις.

ΤΟΥ ΑΥΤΟΥ

εἰς πόλον εἰ γαίηθεν ἴδῃς, ἅμα πάντα δοκεύεις,
εἰς χθόνα δ᾽ οὐρανὸν εἰσαναβὰς, ἅμα πᾶσαν ἂν ἴδοις,
νῦν δ᾽ ἂν πᾶσαν ὁρῶν ἅμα γῆν, ἐμὸν εἰς πόλον οἴσει.

ΤΟΥ ΑΥΤΟΥ

οὔ τοι σφενδόνη εἰμὶ, χλαμύδος ὁρᾷς δέ με μορφήν.
οὐ ῥόος ὠκεανοῖο περιδρομος εἰς ἐμὲ πᾶσαν.
ῥοῦς δ᾽ ἁλὸς ἄλλοθι, ἄλλοθ᾽ ἄγνωστος γαῖα με κυκλοῖ.

ΤΟΥ ΑΥΤΟΥ

ἠελίοιο [illegible] ύντος, ἀπεκρύφθη σέλας ἄστρων,
[illegible] τίνα θοῶς ἀνστείρασε μήνη.
[illegible] ἔτι φανεῖσα,
[illegible] καλύπτρην.

DES. ERASMVS ROT.

EXIMIO VIRO THEOBALDO FETtichio, medicæ rei peritissimo S.



VT intelligas non temere dictum à priscis sapientibus uir ornatissime, παλιμβόλους εἶναι τὰς χάριτας, redit ad te tuus Ptolemæus, quē non dubito, quin pro ingenij tui candore, iam tibi chariorem sis habiturus, magisq́ tuū existimaturus, quod tibi cum uniuersis optimarū disciplinarum studiosis futurus est communis. Bracteata fortunæ bona, communione decrescunt: uera bona, quo latius diffuderis, hoc & meliora redduntur & illustriora. Gratis typographo Græci uoluminis fecisti copiā, non poteras, mihi crede, felicius uendere, etiam si Herculem tibi decimis obstrictum, ac Mercurium fauentem habuisses. Nunc tot studiosorum milia, Theobaldi nomen celebrabunt, Theobaldi candorem exosculabuntur, Theobaldi munificētiæ gratias agent. Quam uero mercedem cum hoc præmio conferat generosus animus? Sæpenumero mirari soleo tam uetustū autorem, (nam floruisse sub Traiano & Antonino Pio satis liquet, tum ex quinto capite septimi libri De magna constructione, tum ex capite primo libri secūdi eiusdem operis.) ad hæc, cum qui geographiā qua uix alia inter mathematicas disciplinas uel iucundior est uel magis necessaria, sic tractarit, ut facile superiores omnes qui de ea scripserūt obscurarit, posteris præluxerit, tot seculis neminē fuisse nactum, à quo pro dignitate Latinis auribus traderetur. A duobus in-

2 terpre-

terpretibus quomodo tractatus sit, quid attinet commemorare, quum & ipsa res per se clamitet, & uir excellenti doctrina Ioannes à Monte regio, iusto uolumine prodiderit. Nuper uir sempiterna dignus memoria Bilibaldus Pyrchemerus pulcherrimũ opus feliciter aggressus est, quod utinã absoluere licuisset: mors & illi successum & nobis fructum hunc inuidit. At nunc opera Frobenianæ officinæ prodit Ptolemæus ipse sua lingua loquens. Nam licet Alexandrinus fuerit, tamen Aegyptus id temporis maxima ex parte Græce loquebatur, in qua lingua apparet hominem non infacundum fuisse, quanquã huiusmodi disciplinarũ tractatio, magis requirit sermonem distinctum, sanum ac perspicuum, quàm splẽdidum aut copiosum. Equidem non nego plurimum laudis deberi Bilibaldo, sed tamen qui Græce peritus Græcum legerit Ptolemæum, fatebitur nonnihil interesse inter lacunam quamuis puram, & fontem ipsum. Complures quidem tum apud Græcos tum apud Latinos mixtim de geographia & chorographia conscripserunt, inter quos nemo Strabone uel diligentior uel copiosior. At Ptolemæus omnium primus hanc disciplinã ad certiorem rationem redegit, commentus dimensionẽ latitudinis uniuersi orbis à polo ad polum, lõgitudinis ab exortu ad occasum, adhibita collatione terræ habitabilis ad cœlum, ut iam non facile quis, toto quemadmodum aiunt, cœlo posſit aberrare. Vtinam & numerorũ notas sicut à Ptolemæo traditæ sunt, incorruptas haberemus, præsertim libro octauo. Sed hanc quoq;, ut spero, prouinciam aliquis arripiet, cui & ingenium & eruditio & ocium suppetet, tam arduo negocio par. Vnum tamen est, quod librarijs imputari uix potest, in gradibus mira est dissensio, Siquidẽ

Pto-

Ptolemæus libri primi capite ſeptimo,rurſus libri ſepti-
mi capite quinto ſcribit ſingulis maiorum circulorum in
cœlo gradibus,in terris reſpōdere ſtadia quingenta,Era-
toſthenes autem quem Plinius & Strabo,ac ueterū ple-
riq; ſequuti uidentur,ſeptingenta.Id unde acciderit,non
dum aſſequor. Vix enim credibile eſt,tantos uiros in ſin
gulis gradibus ducentis ſtadijs uariare:nec multo proba
bilius eſt, Ptolemæum ueteres omnes tam inſigni dam-
naſſe errore, præſertim quum eum nuſquam coarguat,
alioqui non indiligens & hac in parte, quippe qui tam
multa reprehendat in Marino. Quod ſi forte Ptolemęus
aliter accipit ſtadium,quàm ſuperiores,erat & ſuper hac
re non leuis momenti, lector admonendus. Verum hoc
quicquid eſt ſcrupuli,doctis excutiēdum relinquo. Qui
præſunt liberalibus ſtudijs,probe cōſuluerint iuuentuti
ſolidæ doctrinæ candidatæ, ſi eam omnibus ſtimulis ad
geographiam excitent, & ſi hanc exemplo ueterum ſta-
tim poſt deguſtatam grammaticā tradant. Plurimorum
magnis laboribus effectū eſt, ut hæc diſciplina iam nec
ita multum laboris,nec multū temporis deſideret. Olim
plus habebat negocij, quum ambigeretur an cœlū eſſet
ſphæricæ figuræ,quum eſſent qui affirmarent orbem ter
ræ ſic innatare Oceano, quēadmodū pila innatat aquæ,
prominente tantum uertice,cæteris aqua tectis:atque in
alijs item multis errarent,qui ſcriptis artem prodiderūt.
Nunc quum ab alijs compluribus,tum à Ptolemæo præ
cipue, porrectū eſt filum, cuius ductu quiuis facile poſ-
ſit ſeſe ex his labyrinthis explicare:ſtrata eſt uia qua ſine
diſpendijs celeriter ad huius artis faſtigium peruenias:
quam qui negligunt,eos oportet frequenter in euoluen-
dis bonis autoribus hallucinari. Ego uero uir eruditiſsi-

me tibi gratias ago, ut par est, maximas, non tam typographi meoq; nomine, quàm studiosorū omnium, quos æquum est pro hoc non uulgari beneficio tibi, tuis'que semper læta faustaq; precari omnia. Vale.

Apud Friburgum Brisgoæ, calendis Februarijs, Anno à Christo nato

M D XXXIII

ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ

Πτολεμαῖος ὁ Κλαύδιος χρηματίσας, Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε

μηχανικὰ βιβλία. γ̄

περὶ φάσεως καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν βιβλία β̄

ἅπλωσιν ἐπιφανείας σφαίρας, κανόνα πρόχειρον.

τὸν μέγαν ἀστρονόμον, ἤτοι σύνταξιν, καὶ ἄλλα.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΒΙΒΛΙΩ



ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ ΓΕΩΓΡΑΦΙΚΗΣ ΥΦΗΓΗΣΕΩΣ ΒΙΒΛΙΟΝ Α



Τίνι διαφέρει γεωγραφία χωρογραφίας. α



Η ΓΕΩΓΡΑΦΙΑ, ΜΙμησίς ἐστι διὰ γραφῆς τοῦ κατειλημμένου τῆς γῆς μέρους ὅλου, μετὰ τῶν ὡς ἐπίπαν αὐτῷ συνημμένων. καὶ διαφέρει τῆς χωρογραφίας, ἐπειδήπερ αὕτη μὲν ἀποτεμνομένη, τοὺς κατὰ μέρος τόπους, χωρὶς ἕκαστον καὶ καθ' αὑτὸν ἐκτίθεται, συναπογραφομένη πάντα σχεδ[illegible] τὰ μικρότατα τῶν ἐμπεριλαμβανομένων [illegible] κώμας, καὶ δήμους, καὶ τὰς ἀπ[illegible] μῶν ἐκτροπὰς, καὶ τὰ παραπλήσια. [illegible] φίας ἴδιόν ἐστι, τὸ, μίαν τε καὶ συ[illegible] τὴν ἐγνωσμένην γῆν, ὡς ἔχει φύ[illegible]

Οἷον κόλπων καὶ λιμένων καὶ πόλεων ὑποσημοτόρων, καὶ ἁπλῶς τῶν καθ' ἕκαστον εἶδος [illegible]

αὐτῷ

οἷον λιμένας καὶ

ἀπὸ τῶν πρώτων ποταμῶν

τῆς δὲ γεωγραφίας

δεικνύναι

καὶ φύσεως

ως, καὶ μέχρι μόνων τῶν ἐν ὅλαις περιεκτικωτέραις
περιγραφαῖς αὐτῇ συνημμένων. οἷον, κόλπων, καὶ πό-
λεων μεγάλων, ἐθνῶν τε καὶ ποταμῶν τῶν ἀξιολο-
γωτέρων, καὶ τῶν καθ' ἕκαστον εἶδος ἐπισημοτέρων.
ἔχεται δὲ, τὸ μὲν χωρογραφικὸν τέλος, τῆς ἐπὶ μέ-
ρους προσβολῆς. ὡς ἂν εἴ τις οὖς μόνον, ἢ ὀφθαλμὸν
μιμοῖτο. τὸ δὲ γεωγραφικὸν, τῆς καθόλου θεωρίας, κατὰ
τὸ ἀνάλογον τοῖς ὅλην τὴν κεφαλὴν ἀπογραφομένοις.
πάσαις γὰρ ταῖς ὑποτιθεμέναις εἰκόσι τῶν πρώτων
μερῶν, ἀναγκαίως καὶ προηγουμένως ἐφαρμοζομέ-
νων, καὶ ἔτι τῶν δεξομένων τὰς γραφὰς, συμμέτρων
ὀφειλόντων εἶναι, τοῖς δὲ ἀρχῆς αὐταρκέσι τῶν ὄψε-
ων διαστάσεσιν, ἐάν τε τέλειον ᾖ τὸ γραφόμενον, ἐάν
τ' ἐπὶ μέρους, ἵν' ἅπαν αἰσθητῶς παραλαμβάνη-
ται, παρηκολούθησεν εὐλόγως ἅμα καὶ χρησίμως,
τῇ μὲν χωρογραφίᾳ, συναποδιδόναι καὶ τὰ μικρομε-
ρέστερα τῶν ἰδιωμάτων. τῇ δὲ γεωγραφίᾳ, τὰς χώ-
ρας αὐτὰς μετὰ τῶν καθόλου παρακειμένων. ὅτι καὶ
πρῶτα μέρη καὶ μεγέθεσι συμμέτροις ἐγκατάτακται,
τῆς μὲν οἰκουμένης, αἱ τῶν χωρῶν ὑποθέσεις. τούτων
δὲ, αἱ τῶν ἐπὶ πλεῖστον αὐταῖς ἐμπεριεχομένων διαφοραί
... τι δὲ ἐπὶ πλεῖστον, ἡ μὲν χωρογραφία,
...ν μᾶλλον, ἢ τὸ ποσὸν τῶν καταπασσομένων.
...οιότητος πεφρόντικε πανταχῆ, καὶ οὐχ
...τω συμμέτρου τῶν θέσεων. Η δὲ γεωγραφία,
τὸ ποσὸν μᾶλλον ἢ τὸ ποιόν. ἐπειδήπερ τῆς μὲν
ἀναλογ.

ἴσως προσβολῆς

ὑπο

ρμι. καταγίνεται
περὶ τὸ ποιὸν
της γὰρ ὁμοιό
τητος
περὶ

ἀναλογίας τῶν διαστάσεων, ἐν πᾶσι ποιεῖται πρόνοιαν. τῆς δ' ὁμοιότητος, μέχρι τῶν μεγαλομερεστέρων περιγραφῶν, καὶ κατ' αὐτὸ τὸ σχῆμα μόνον. ὅθεν ἐκείνη μὲν, δεῖ τοπογραφίας. καὶ οὐδεὶς ἂν χωρογραφήσειεν, εἰ μὴ γραφικὸς ἀνήρ. ταύτῃ δ' οὐ πάντως. ἐμποιεῖ γὰρ καὶ διὰ ψιλῶν τῶν γραμμάτων καὶ τῶν παρασημειώσεων, δεικνῦσαι καὶ τὰς θέσεις καὶ τοὺς καθόλου σχηματισμούς. διὰ ταῦτα ἐκείνη μὲν, οὐ δεῖ μεθόδου μαθηματικῆς. ἐνταῦθα δὲ, τοῦτο μάλιστα προηγεῖται τὸ μέρος. προσσκέψασθαι γὰρ δεῖ καὶ τῆς ὅλης γῆς τό, τε σχῆμα καὶ τὸ μέγεθος. ἔτι τε, τὴν πρὸς τὸ περιέχον θέσιν. ἵνα καὶ τὸ κατειλημμένον αὐτῆς μέρος ἐνῇ εἰπεῖν, καὶ πόσον ἐστὶ καὶ ποῖον. καὶ ἔτι τῶν ἐν τούτῳ τόπων ἑκάστου ὑπὸ τίνας εἰσὶ τῆς οὐρανίου σφαίρας παραλλήλους. ἐξ ὧν τά τε μεγέθη τῶν νυχθημέρων, καὶ τοὺς κατὰ κορυφὴν γινομένους τῶν ἀπλανῶν, καὶ τοὺς ὑπὲρ γῆν, ἢ ὑπὸ γῆν ἀεὶ φερομένους, καὶ ὅσα τὸ περὶ οἰκήσεως λόγου συνάπτομεν, ἔξεστι προσδιαλαμβάνειν. ἃ τῆς ἀνωτάτω καὶ καλλίστης ἐστὶ θεωρίας, ὑποδεικνύντα διὰ τῶν μαθημάτων ταῖς ἀνθρωπίναις καταλήψεσι· τὸν μὲν οὐρανὸν αὐτὸν, ὡς ἔχει φύσεως ὅτι δύναται περιπολῶν ἡμᾶς· τὴν δὲ γῆν διὰ τῆς εἰκόνος, ὅτι τὴν ἀληθινὴν καὶ μεγίστην οὖσαν καὶ μὴ περιέχουσαν ἡμᾶς, οὔτε ἀθρόως, οὔτε κατὰ μέρος ὑπὸ τῶν αὐτῶν ἐφοδευθῆναι δυνατόν.

οὐδὲν

τῷ περὶ οἰκήσεως λόγῳ

Τίνα δεῖ ὑποκεῖσθαι πρὸς τὴν γεωγραφίαν. β

Τί μὲν οὖν τέλος ἐστὶ τῷ γεωγραφοῦντι, καὶ τίνι διαφέρει τῆς χωρογραφίας, διὰ τούτων ὡς ἐν κεφαλαίοις ὑποτετυπώσθω. προκειμένου δ' ἐν τῷ παρόντι καταγράψαι τὴν καθ' ἡμᾶς οἰκουμένην σύμμετρον ὡς ἔνι μάλιστα τῇ κατ' ἀλήθειαν, ἀναγκαῖον οἰόμεθα προδιαλαβεῖν· ὅτι τῆς τοιαύτης μεθόδου τὸ προηγούμενόν ἐστιν, ἱστορία περιοδική, τὴν πλείστην περιποιοῦσα γνῶσιν, ἐκ παραδόσεως τῶν μετ' ἐπιστάσεως θεωρητικῆς, τὰς κατὰ μέρος χώρας περιελθόντων. καὶ ὅτι τῆς ἐπισκέψεως καὶ παραδόσεως, τὸ μέν ἐστι γεωμετρικόν. τὸ δὲ, μετεωροσκόπιον. γεωμετρικὸν μὲν, τὸ διὰ ψιλῆς τῆς ἀναμετρήσεως τῶν διαστάσεων τὰς πρὸς ἀλλήλους θέσεις τῶν τόπων ἐμφανίζον. μετεωροσκόπιον δὲ, τὸ διὰ τῶν φαινομένων ἀπὸ τῶν ἀστρολάβων καὶ σκιοθήρων ὀργάνων. τοῦτο μὲν, ὡς αὐτοτελές τι καὶ ἀδιστακτότερον. ἐκεῖνο δὲ, ὡς ὁλοσχερέστερον, καὶ τούτου προσδεόμενον. πρῶτον μὲν γὰρ ἀναγκαίου τυγχάνοντος ὑποκεῖσθαι καθ' ἑκάτερον τρόπον, πρὸς τίνα τέταρται τοῦ κόσμου θέσιν ἡ τῶν ἐπιζητουμένων δύο τόπων διάστασις· οὐ γὰρ ἁπλῶς εἰδέναι δεῖ πόσον ἀφέστηκεν ὅδε τοῦδε μόνον, ἀλλὰ καὶ ποῦ, τουτέστι πρὸς ἄρκτους φέρε εἰπεῖν, ἢ πρὸς ἀνατολάς, ἢ τὰς μερικωτέρας τούτων προσ-

Σκιόθηρός ἐστι σχῆμα πυραμίδος ἐκ τεσσάρων τριγώνων περιεχόμενον, περιϊσῶν τῶν ὀρθῶν γωνιῶν τῶν τριγώνων δι' οὗ λαμβάνομεν τὴν μεσημβρίαν.

νεύσεις

διορίσεις· ἀδύνατον δ' ἐστὶ τὸ τοιοῦτον σκοπεῖν ἀκριβῶς ἄνευ τῆς διὰ τῶν εἰρημένων ὀργάνων τηρήσεως. ἀφ' ὧν ἐν παντὶ τόπῳ καὶ χρόνῳ δείκνυται προχείρως, ἥ τε τῆς μεσημβρινῆς γραμμῆς θέσις, καὶ διὰ ταύτης αἱ τῶν ἀνυομένων διαστάσεων. ἔπειτα καὶ τούτου δοθέντος, ἡ μὲν τῶν σταδιασμῶν ἀναμέτρησις, οὔτε βεβαίως ἐμποιεῖ τοῦ ἀληθοῦς κατάληψιν, διὰ τὸ σπανίως εὐθυτενέσι περιπίπτειν πορείαις, ἐκτροπῶν πολλῶν συναποδιδομένων, καὶ κατὰ τὰς ὁδοὺς, καὶ κατὰ τοὺς πλοῦς· καὶ δεῖν ἐπὶ μὲν τῶν πορειῶν, καὶ τὸ παρὰ τὸ ποιὸν καὶ ποσὸν τῶν ἐκτροπῶν περισσεῦον εἰκάζοντας, ὑφαιρεῖν τῶν ὅλων σταδίων εἰς τὴν εὕρεσιν τῆς εὐθυτενείας· ἐπὶ δὲ τῶν ναυτιλιῶν, ἔτι καὶ τὸ παρὰ τὰς φορὰς τῶν πνευμάτων, διὰ πολλοῦ γε μὴ τηρούντων τὰς αὐτὰς δυνάμεις, ἀνώμαλον προσδιακρίνειν. οὔτε κἂν ἡ μεταξὺ διάστασις τῶν ἀμφοθέντων τόπων ἀκριβωθῇ, τὸν πρὸς ὅλην τὴν περίμετρον τῆς γῆς λόγον αὐτῆς συναποδίδωσιν, ἢ τὴν πρὸς τὸν ἰσημερινὸν καὶ τοὺς πόλους θέσιν. ἡ δὲ διὰ τῶν φαινομένων ἕκαστα τούτων ἀκριβοῖ· προσυποδεικνύουσα, πηλίκας τε περιφερείας ἀπολαμβάνουσιν ἀλλήλων οἱ γραφόμενοι διὰ τῶν ὑποκειμένων τόπων κύκλοι, παράλληλοί τε καὶ μεσημβρινοί. τουτέστιν, οἱ μὲν παράλληλοι, τὰς μεταξὺ περιπτούσας αὐτῶν τε καὶ τοῦ ἰσημερινοῦ περιφερείας τῶν μεσημβρινῶν. ἔτι δὲ, τὰς ἐμπεριεχομένας ὑπ' αὐτῶν τοῦ τε ἰσημερινοῦ καὶ

διανυομένων διαστάσεως Λ.Μ.Ρ.

δι' αὐτῶν

τῶν παραλλήλων. καὶ ἔτι, πηλίκην ἀπολαμβάνουσιν οἱ δύο τόποι περιφέρειαν, τοῦ ~~διὰ τοῦ~~ ἐν τῇ γῇ γραφομένου μεγίστου κύκλου· καὶ μηδέν τι δεομένη τῆς τῶν σταδίων ἀριθμήσεως, πρός τε τὸν λόγον τὸν ἀπὸ τῶν τῆς γῆς μέτρων καὶ πρὸς ὅλην τὴν ἔφοδον τῆς καταγραφῆς. ἐπαρκεῖ γὰρ ὑποθεμένοις τὴν περίμετρον αὐτῆς τμημάτων ὁσωνοῦν, τοσούτων ἐπιδεικνύναι καὶ τὰς κατὰ μέρος διαστάσεις, ἐπὶ τῶν γραφομένων ἐν αὐτῇ μεγίστων κύκλων. ἀλλ' ἴσως οὐ πρὸς τὸ διελεῖν ὅλην τὴν περίμετρον, ἢ τὰ μέρη ταύτης εἰς ὑποκείμενα καὶ γνώριμα διαστήματα ταῖς ἡμετέραις ἀναμετρήσεσι. διὰ τοῦτο μόνον, ἀναγκαῖον γέγονεν ἐφαρμόσαι τινὰ τῶν ἰθυτενῶν ὁδῶν τῇ κατὰ τὸ περιέχον ὁμοίᾳ μεγίστου κύκλου περιφερείᾳ. καὶ λαβόντας, τὸν μὲν ταύτης λόγον, πρὸς τὸν κύκλον ἐκ τῶν φαινομένων· τὸν δὲ τῆς ὑπ' αὐτὴν ὁδοῦ σταδιασμὸν ἐκ τῆς ἀναμετρήσεως ἀπὸ τοῦ δοθέντος μέρους· καὶ τὸ τῆς ὅλης περιμέτρου τῶν σταδίων πλῆθος ἀποφῆναι. λαμβανομένου γὰρ ἐκ τῶν μαθημάτων, τοῦ καὶ τὴν συνημμένην τῆς γῆς καὶ τοῦ ὕδατος ἐπιφάνειαν ὡς καθ' ὅλα μέρη σφαιροειδῆ τε εἶναι καὶ περὶ αὐτὸ τὸ κέντρον τῆς σφαίρας τῶν οὐρανίων· ὥστε τῶν διὰ τοῦ κέντρου ἐκβαλλομένων ἐπιπέδων ἕκαστον τὰς κοινὰς τομὰς ἑαυτοῦ καὶ τῶν εἰρημένων ἐπιφανειῶν ποιεῖν μεγίστους ἐν αὐταῖς κύκλους, καὶ τὰς συνισταμένας ἐν αὐτοῖς πρὸς τοῖς κέντροις γωνίας ὁμοίας ἀπολαμβάνειν

νειν τῶν κύκλων περιφερείας· συμβαίνει τῶν ἀπὸ τῆς γῆς διαστάσεων· τὸ μὲν ποσὸν τῶν σταδίων ἐὰν ἰθυτενεῖς ὦσιν, ἐκ τῶν ἀναμετρήσεων λαμβάνεσθαι. τὸν δὲ λόγον τὸν πρὸς τὴν ὅλην περίμετρον, ἐξ αὐτῶν μὲν οὐδαμῶς, διὰ τὸ τῆς παραβολῆς ἀνέφικτον. ἀπὸ δὲ τῆς ὁμοίας τοῦ κατὰ τὸ περιέχον κύκλου περιφερείας. ἐπειδή περ ταύτης μὲν, ἐνδέχεται λαμβάνειν τὸν πρὸς τὴν οἰκείαν περίμετρον λόγον· ὁ αὐτὸς δὲ γίνεται καὶ ἐκ τοῦ περὶ τὴν γῆν ὁμοίου τμήματος, πρὸς τὸν ἐν αὐτῇ μέγιστον κύκλον.

Πῶς ἀπὸ τοῦ σταδιασμοῦ τῆς τυχούσης ἰθυτενοῦς διαστάσεως, κἂν μὴ ὑπὸ τὸν αὐτὸν ᾖ μεσημβρινὸν, ὁ τῆς περιμέτρου τῆς γῆς σταδιασμὸς λαμβάνεται, καὶ τὸ ἀνάπαλιν. Γ

ΟΙ μὲν οὖν πρὸ ἡμῶν, οὐκ ἰθυτενῆ μόνον ἐζήτουν ἐν τῇ γῇ διάστασιν, ἵνα μεγίστου κύκλου ποιῇ περιφέρειαν, ἀλλὰ καὶ τὴν θέσιν ἔχουσαν ἐν ἑνὸς ἐπιπέδῳ μεσημβρινοῦ. καὶ τηροῦντες διὰ τῶν σκιοθήρων τὰ κατὰ κορυφὴν σημεῖα τῶν δύο τῆς διαστάσεως περάτων, αὐτόθεν τὴν ἀπολαμβανομένην ὑπ᾽ αὐτῶν τῶν μεσημβρινῶν περιφέρειαν, ὁμοίαν εἶχον τῇ τῆς πορείας· διά τε τὸ καθ᾽ ἑνὸς ὡς ἔφημεν ἐπιπέδου ταῦτα συνίστασθαι, τῶν ἐκβαλλομένων εὐθειῶν διὰ τῶν περάτων ἐπὶ τὰ κατὰ κορυφὴν σημεῖα συμπιπτουσῶν ἀλλήλαις· καὶ διὰ τὸ κοινὸν εἶναι τῶν κύκλων κέντρον τὸ τῆς συμ-

τῆς συμπτώσεως σημεῖον. ὅσον οὖν ἐφαίνετο μόριον ὂν τοῦ διὰ τῶν πόλων κύκλου, ἡ μεταξὺ τῶν κατὰ κορυφὴν σημείων περιφέρεια, τοσοῦτον ὑπετίθεντο καὶ τὴν ἐν τῇ γῇ διάστασιν τῆς ὅλης περιμέτρου. ὅτι δὲ κἂν μὴ διὰ τῶν πόλων λαμβάνωμεν τὸν κατὰ τὴν μεμετρημένην διάστασιν κύκλον, ἀλλ' ὁποιονοῦν τῶν μεγίστων, τὸ προκείμενον δύναται δειχθῆναι, τῶν ἐν τοῖς πέρασιν ἐξαρμάτων ὁμοίως τηρηθέντων, καὶ τῆς θέσεως ἣν ἔχει πρὸς τὸν ἕτερον μεσημβρινὸν ἡ διάστασις, παρεστήσαμεν ἡμεῖς διὰ κατασκευῆς ὀργάνου μετεωροσκοπικοῦ. δι' οὗ πολλά τε ἄλλα προχείρως λαμβάνομεν τῶν χρησιμωτάτων, καὶ δὴ καὶ πάσῃ μὲν ἡμέρᾳ καὶ νυκτὶ τὸ κατὰ τὸν τῆς τηρήσεως τόπον, ἔξαρμα τοῦ βορείου πόλου. πάσῃ δὲ ὥρᾳ τήν τε μεσημβρινὴν θέσιν, καὶ τὰς τῶν διανύσεων πρὸς αὐτήν. τουτέστι πηλίκας ποιεῖ γωνίας, ὁ διὰ τῆς ὁδοῦ γραφόμενος μέγιστος κύκλος, μετὰ τοῦ μεσημβρινοῦ πρὸς τῷ κατὰ κορυφὴν σημείῳ. Δι' ὧν ὁμοίως, τήν τε ζητουμένην περιφέρειαν ἐξ αὐτοῦ τοῦ μετεωροσκοπίου δείκνυμεν, καὶ ἔτι τὴν ἀπολαμβανομένην τοῦ ἰσημερινοῦ περιφέρειαν, ὑπὸ τῶν δύο μεσημβρινῶν, κἂν ἕτεροι ὦσι τοῦ ἰσημερινοῦ παράλληλοι. ὥστε κατὰ τὴν τοιαύτην ἔφοδον μιᾶς μὲν ἰθυτενοῦς μόνου διαστάσεως ἐν τῇ γῇ μετρηθείσης, καὶ τὸν ὅλον τῆς περιμέτρου σταδιασμὸν εὑρίσκεσθαι. διὰ δὲ τούτου λοιπὸν καὶ τοὺς τῶν ἄλλων χωρὶς ἀναμετρήσεως, κἂν μὴ ὦσι δι' ὅλων ἰθυτενεῖς, μηδ' ὑπὸ

Εὑρόντες γὰρ τὰς πρὸς ἀλλήλους τῶν ἀστέρων διὰ τοῦ μετεωροσκόπου πόσας

δ' ὑπὸ

δι' ἀπὸ τὴν αὐτὴν μεσημβρινὸν ἢ παράλληλον. τὸ δ' ὡς ἐπίπαν τῆς προσυνθέσεως ἴδιον ἐπιμελῶς ἦν εἰλημμένον καὶ τὰ τῶν περάτων διάρματα. διὰ γὰρ τοῦ λόγου πάλιν τῆς ὑποτεινούσης τὴν διάστασιν περιφερείας πρὸς τὸν μέγιστον κύκλον καὶ τὸ τῶν σταδίων πλῆθος ἀπὸ τοῦ κατειλημμένου τῆς ὅλης περιμέτρου προχείρως ἐνδέχεται ἐπιλογίζεσθαι.

Ὅτι δεῖ τὰ ἐκ τῶν φαινομένων τηρούμενα προϋποτίθεσθαι τῶν ἐκ τῆς περιοδικῆς ἱστορίας. δ

Τούτων τοίνυν οὕτως ἐχόντων, εἰ μὲν οἱ περιελθόντες τὰς κατὰ μέρος χώρας, τοιαύταις τισὶ τηρήσεσιν ἐτύγχανον κεχρημένοι, παντάπασιν ἂν ἀδίστακτον ἐνεδέχετο ποιήσασθαι τὴν τῆς οἰκουμένης καταγραφήν. ἐπεὶ δὲ μόνος ὁ ἵππαρχος ἐπ' ὀλίγων πόλεων ὡς πρὸς τοσοῦτον πλῆθος τῶν κατατασσομένων ἐν τῇ γεωγραφίᾳ ἐξάρματα τοῦ βορείου πόλου παρέδωκεν ἡμῖν, καὶ τὰς ὑπὸ τοὺς αὐτοὺς κειμένας παραλλήλους οἰκήσεις ἔστι τὰς ἑξῆς, ἔνιοι δὲ τῶν μετ' αὐτὸν καί τινας τῶν ἀντικειμένων τόπων, οὐ τοὺς ἴσον ἀπέχοντας τοῦ ἰσημερινοῦ, ἀλλ' ἁπλῶς, τοὺς ὑπὸ τοὺς αὐτοὺς ὄντας μεσημβρινούς, ἐκ τοῦ τοὺς πρὸς ἀλλήλους αὐτῶν διάπλους βορείοις ἀπαρκτίαις ἢ νότοις διανύεσθαι· τὰ δὲ πλεῖστα τῶν διαστημάτων, καὶ μάλιστα τὰ πρὸς ἀνατολὰς, ἢ δυσμὰς ὁλοσχερεστέρας

μοίρας ἀφεστήκασιν, ἐξὸν μὲν ἐστὶ ἐν σταδίοις πόσον ἀφεστήκασιν. ἐν γὰρ τοῖς δοθεῖσι τόποις γενόμενοι, καὶ λαβόντες τὰ κατὰ κορυφὴν διὰ τοῦ ὀργάνου, εὑρήσομεν καὶ ἐν τῇ γῇ, τὸ αὐτὸ διάστημα ἀπέχοντες, ὅσον ἐστὶ ἡ ἀποκλιμένη ἑκάστη μοῖρα ἔχει τὸν σταδιασμόν, καὶ οὐκ ἔτι χρεία ποιεῖν τὸν λόγον πρὸς τὸν περίμετρον τῆς ὅλης γῆς. τοῦτο δὲ ἔσται, ἐὰν καὶ μὴ ἐπ' εὐθείας ἐστὶ ἰθυτενὴς ἡ ὁδὸς ἡ διαθεῖσα.

ἔτυχε παραδόσεως, ἢ ῥᾳθυμίᾳ τῶν περιβαλλόντων ταῖς ἱστορίαις, ἀλλ' ἴσως διὰ τὸ μηδέ πω τὸ πρόχειρον καταλῆφθαι τῆς μαθηματικωτέρας περισκέψεως, καὶ διὰ τὸ μὴ πλείστου τῶν ὑπὸ τὴν αὐτὴν χρόνον ἐν διαφόροις τόποις τετηρημένων σεληνιακῶν ἐκλείψεων, ὡς τὴν μὲν ἀρβήλοις πέμπτης ὥρας φανεῖσαν, ἐν δὲ καρχηδόνι δευτέρας, ἀναγραφῆς ἠξιῶσθαι, ἐξ ὧν ἐφαίνετ' ἂν πόσους ἀπέχουσιν ἀλλήλων οἱ τόποι χρόνους ἰσημερινοὺς πρὸς ἀνατολὰς ἢ δυσμὰς· εὔλογον ἂν εἴη καὶ τὸν τούτοις ἀκολούθως γεωγραφήσοντα, τὰ μὲν, διὰ τῶν ἀκριβεστέρων τηρήσεων εἰλημμένα προϋποτίθεσθαι τῇ καταγραφῇ, καθάπερ θεμέλιον. τὰ δ' ἀπὸ τῶν ἄλλων ἐφαρμόζειν τούτοις. ἕως ἂν αἱ πρὸς ἀλλήλας θέσεις αὐτῶν μετὰ τῶν πρὸς τὰ πρῶτα τηρῶσιν, ὡς ἔνι μάλιστα συμφώνως, τὰς ἀδιστακτοτέρας τῶν παραδόσεων.

Ὅτι ταῖς ἐγγυτέραις τῶν ἱστοριῶν προσεκτέον, διὰ τὰς ἐν τῇ γῇ κατὰ χρόνους μεταβολάς. ε

Ἡ Μὲν οὖν περιβολὴ τῆς καταγραφῆς, τοιαύτης ἂν εἰκότως ἔχοιτο προθέσεως. ἐπειδὴ δὲ ἐν ἅπασι τοῖς μὴ παντελῶς κατειλημμένοις τόποις, ἢ διὰ μεγέθους ὑπερβολὴν, ἢ διὰ τὸ μὴ ἀεὶ ὡσαύτως ἔχειν, ὁ πλείων ἀεὶ χρόνος ἱστορίαν ἐμποιεῖ καθάπαξ ἀκριβεστέραν τοῦ τὴν δὲ ὅτι καὶ τὸ κατὰ τὴν γεωγραφίαν

γραφίαν. ὁμολογεῖται γὰρ διὰ τῶν κατὰ χρόνους παραδόσεων, πολλὰ μὲν μέρη τῆς συνεχούσης γῆς τὴν καθ' ἡμᾶς οἰκουμένην μηδέπω διὰ τὸ τοῦ μεγέθους δυσέφικτον εἰς γνῶσιν ἐληλυθέναι, τὰ δὲ μὴ ὡς ἔχει λόγου τετυχηκέναι παρὰ τὸ τῶν ἐκλαβόντων τὰς ἱστορίας ἀνεπίστατον, ἔνια δὲ καὶ αὐτὰ νῦν ἄλλως ἔχειν ἢ πρότερον διὰ τὰς ἐν τοῖς κατὰ μέρος ἐπιγινομένας φθορὰς, ἢ μεταβολάς· ἀναγκαῖον δ' ἐστὶ κἀνταῦθα ταῖς ὑστάταις τῶν καθ' ἡμᾶς παραδόσεων ὡς ἐπίπαν προσέχειν παραφυλάσσοντας ἐπί τε τῆς τῶν παριστορουμένων ἐκθέσεως καὶ τῆς τῶν παριστορηθέντων διακρίσεως, τό τε ἀξιόπιστον καὶ τὸ μή.

Περὶ τῆς κατὰ Μαρῖνον γεωγραφικῆς ὑφηγήσεως. ς

Δοκεῖ δὴ Μαρῖνος ὁ Τύριος, ὕστατός τε τῶν καθ' ἡμᾶς, καὶ μετὰ πάσης σπουδῆς ἐπιβαλεῖν τῷ μέρει τούτῳ. φαίνεται γὰρ καὶ πλείοσιν ἱστορίαις περιπεπτωκὼς, παρὰ τὰς ἔτι ἄνωθεν εἰς γνῶσιν ἐλθούσας· καὶ τὰς πάντων σχεδὸν τῶν πρὸ αὐτοῦ μετ' ἐπιμελείας διειληφὼς, ἐπανορθώσεώς τε τῆς δεούσης ἀξιώσας, ὅσα μὴ προσηκόντως ἐτύγχανε πεπιστευμένα, καὶ ὑπ' ἐκείνων καὶ ὑφ' ἑαυτοῦ τὸ πρῶτον. ὡς ἐκ τῶν ἐκδόσεων αὐτοῦ τῆς τοῦ γεωγραφικοῦ πίνακος διορθώσεως πλειόνων οὐσῶν ἔνεστι σκοπεῖν. ἀλλ' εἰ μὲν

ἑωρῶμεν μηδὲν ἐνδέον αὐτοῦ τῇ τελευταίᾳ συντά-
ξει, καὶ ἀπήρκει ἡμῖν ἀπὸ τούτων μόνων τῶν ὑπο-
μνημάτων ποιεῖσθαι τὴν τῆς οἰκουμένης καταγρα-
φὴν, μηδὲν ἔτι περιεργαζομένοις. ἐπεὶ δὲ φαίνεται
καὶ αὐτὸς ἐνίοις τε μὴ μετὰ καταλήψεως ἀξιοπίστου συγ-
κατατεθειμένος, καὶ ἔτι περὶ τὴν ἔφοδον τῆς κατα-
γραφῆς πολλαχῇ μήτε τοῦ προχείρου, μήτε τοῦ συμ-
μέτρου τὴν δέουσαν πρόνοιαν πεποιημένος, εἰκότως
προήχθημεν ὅσον ᾠόμεθα δεῖν, τῇ τἀνδρὸς πραγμα-
τείᾳ συνεισενεγκεῖν ἐπὶ τὸ εὐλογώτερον καὶ εὐχρη-
στότερον. καὶ δὴ τοῦτο ποιήσομεν ἀπεριέργως ὡς ἔνι μά-
λιστα, προϋποσκεψάμενοι διὰ βραχέων ἑκάτερον εἶ-
δος, τῶν ὀφειλόντων λόγου τινὸς τυχεῖν. καὶ πρῶ-
τον τὸ κατὰ τὴν ἱστορίαν, ἀφ᾽ ἧς οἴεται δεῖν ἐπὶ πλέον
προάγειν καὶ τὸ μῆκος τῆς ἐγνωσμένης γῆς πρὸς
τὰς ἀνατολὰς, καὶ τὸ πλάτος πρὸς τὴν μεσημβρί-
αν. εἰκότως γὰρ ἂν καλοῖμεν τῆς ἐγκειμένης ἐπιφα-
νείας τὴν ἀπ᾽ ἀνατολῶν ἐπὶ Δυσμὰς διάστασιν, μῆ-
κος. τὴν δ᾽ ἀπ᾽ ἄρκτων πρὸς μεσημβρίαν, πλά-
τος. ὅτι τε καὶ τῶν κατ᾽ οὐρανὸν κινήσεων τοῖς πα-
ραλλήλοις ταύτας ὁμωνύμως προσαγορεύομεν, καὶ
ὅτι καθόλου μὲν τῇ μείζονι τῶν διαστάσεων προσά-
πτομεν τὸ μῆκος. ὡμολόγηται δὲ παρὰ πάντων ἁ-
πλῶς καὶ τῆς οἰκουμένης ἡ πρὸς Δυσμὰς ἀπὸ τῶν ἀ-
νατολῶν διάστασις, πολλῷ μείζων τῆς ἀπ᾽ ἄρκτων
πρὸς μεσημβρίαν.

Διόρθωσις κατὰ τὴν τοῦ Μαρίνου τοῦ πλάτους τῆς ἐγνωσμένης γῆς διαστάσεως ἀπὸ τῶν φαινομένων. ζ

Ἐπὶ τοίνυν τοῦ πλάτους πρῶτον ὑποτίθεται μὲν καὶ αὐτὸς τὴν θούλην νῆσον ὑπὸ τὸν παράλληλον τὸν ἀφορίζοντα τὸ βορειότατον πέρας τῆς ἐγνωσμένης γῆς. τὸν δὲ παράλληλον τοῦτον ἀποδεικνύουσιν ὡς ἔνι μάλιστα ἀπέχοντα τοῦ ἰσημερινοῦ μοίρας ξγ. οἵων ἐστὶν ὁ μεσημβρινὸς κύκλος τξ. σταδίους δὲ τρισμυρίους χιλίους πεντακοσίους, ὡς τῆς μοίρας πεντακοσίους ἔγγιστα σταδίους περιεχούσης. ἔπειτα τὴν τῶν αἰθιόπων χώραν τὴν καλουμένην ἀγίσυμβα, καὶ τὸ πρᾶσον ἀκρωτήριον, ἐκθέμενος ὑπὸ τὸν παράλληλον τὸν ἀφορίζοντα τὸ νοτιώτατον καὶ πέρας τῆς ἐγνωσμένης γῆς, τίθει καὶ τοῦτον ὑπὸ τὸν χειμερινὸν τροπικόν, ὥστε τὸ πλάτος τῆς οἰκουμένης προσγινομένου τοῦ μεταξὺ διαστήματος, τοῦ τε ἰσημερινοῦ καὶ τοῦ χειμερινοῦ, συνάγεσθαι κατ' αὐτὸν μοίρας πζ ἔγγιστα, σταδίων δὲ μυριάδων τεσσάρων, τρισχιλίων πεντακοσίων. πειρᾶται δὲ τὸ εὔλογον τοῦ νοτίου πέρατος δεικνύναι, καὶ διὰ φαινομένων τινῶν ὥς γε αὐτὸς οἴεται, καὶ διὰ τῶν ἱστορηθεισῶν διανύσεων κατά τε γῆν καὶ κατὰ θάλασσαν. ὧν ἕκαστον δ' ἐξ ὑποδρομῆς ἐπισκεπτέον. διὰ μὲν τῶν φαινομένων φησὶν ἐν τῇ τρίτῃ συντάξει κατὰ λέξιν, οὕ-

" τως. ἐν γὰρ τῇ διακεκαυμένῃ ζώνῃ ὁ ζωδιακὸς ὅλος
" ὑπὲρ αὐτὴν φέρεται. διόπερ ἐν αὐτῇ μεταβάλλου-
" σιν αἱ σκιαὶ, καὶ πάντα τὰ ἄστρα δύνει καὶ ἀνατέλ-
" λει. μόνη δὲ ἡ μικρὰ ἄρκτος ἄρχεται ὅλη ὑπὲρ
" γῆν φαίνεσθαι ἐν τοῖς ὠκήλεως βορειοτέροις σταδίοις
" πεντακοσίοις. ὁ γὰρ διὰ ὠκήλεως παράλληλος, διῆρ-
" ται μοίρας ια̅, καὶ δύο πέμπτα. παραδίδοται δὲ,
" ὑπὸ τοῦ ἱππάρχου τῆς μικρᾶς ἄρκτου ὁ νοτιώτατος,
" ἔσχατος δὲ τῆς οὐρᾶς ἀστὴρ ἀπέχειν τοῦ πόλου μοί.
" ιβ̅. καὶ δύο πέμπτα. καὶ τοῖς μὲν ἀπὸ τοῦ ἰσημερινοῦ
" ἐπὶ τὸν θερινὸν πορευομένοις, ὁ μὲν βόρειος πόλος ἀεὶ
" μετεωρίζεται ὑπὲρ τὸν ὁρίζοντα. ὁ δὲ νότιος, ὑπὸ τὸν
" ὁρίζοντα γίνεται. τοῖς δὲ ἀπὸ τοῦ ἰσημερινοῦ πρὸς τὸν
" χειμερινὸν τροπικὸν βαδίζουσιν, ὁ μὲν νότιος πόλος,
" ἐξαίρεται ὑπὲρ τὸν ὁρίζοντα. ὁ δὲ βόρειος, ὑπὸ τὸν
" ὁρίζοντα γίνεται. διὰ μὲν οὖν τούτων αὐτὰ τὰ ὀφεί-
λοντα συμβαίνειν ἐν τοῖς ὑπὸ τὸν ἰσημερινὸν ἢ τοῖς
μεταξὺ τῶν τροπικῶν τόποις ἐκτίθεται μόνοις. εἰ δὲ καὶ
τῷ ὄντι γέγονέ τις ἱστορία τῶν ὑπὸ τοὺς νοτιωτέρους
τοῦ ἰσημερινοῦ φαινομένων, οὐ παρίστησιν. οἷον τὸ γίνε-
σθαί που κατὰ κορυφὴν ἀστέρας τῶν τοῦ ἰσημερινοῦ νο-
τιωτέρων. ἢ τὸ τὰς μεσημβρινὰς σκιὰς, ἐν ταῖς ἰση-
μερίαις ἀποκλίνειν πρὸς νότον, ἢ τὸ τοὺς τῆς μικρᾶς
ἄρκτου ἀστέρας πάντας ἀνατέλλειν, ἢ δύνειν. ἢ πά-
λιν τινὰς αὐτῶν μὴ φαίνεσθαι τοῦ νοτίου τῶν πόλων
ὑπὲρ τὸν ὁρίζοντα γινομένου. διὰ δὲ τῶν ἑξῆς, ὧν λέγει

μέ

μέν τινα τετηρημένα φαινόμενα. μὴ μέν τοι τὸ προκείμενον ἐπιδεῖξαι δυνάμενα πάντως. φησὶ γὰρ ὅτι καὶ οἱ μὲν ἀπὸ τῆς ἰνδικῆς εἰς τὴν λιμυρικὴν πλέοντες ὥς φησι Διόδωρος ὁ σάμιος ἐν τῷ τρίτῳ, ἔχουσι τὸν ταῦρον μεσουρανοῦντα, καὶ τὴν πλειάδα κατὰ μέσην τὴν κεραίαν. οἱ δ' εἰς τὴν ἀζανίαν ἀπὸ τῆς ἀρραβίας ἀναγόμενοι, ἰθύνουσι τὸν πλοῦν πρὸς μεσημβρίαν, καὶ τὸν κάνωβον ἀστέρα, ὅς τις ἐκεῖ λέγεται ἵππος καὶ ἔστι νοτιώτατος. ἄστρα δὲ φαίνεται παρ' αὐτοῖς, ἃ παρ' ἡμῖν οὐδὲ ὀνομάζεται, καὶ ὁ κύων τοῦ προκύνος πρότερος ἐπιτέλλων, καὶ ὁ ὠρίων πρὸ τῶν θερινῶν τροπῶν ὅλως. καὶ τούτων οὖν τῶν φαινομένων, τὰ μὲν, σαφῶς τὰς βορειοτέρας οἰκήσεις τοῦ ἰσημερινοῦ παρίστησιν, ὡς ὁ ταῦρος καὶ ἡ πλειὰς κατὰ κορυφὴν γινόμενα. βορειότερα γὰρ καὶ τὰ ἄστρα ταῦτα τοῦ ἰσημερινοῦ. τὰ δ' οὐδὲν μᾶλλον τὰς νοτιωτέρας τῶν βορειοτέρων. ὅ τε γὰρ κάνωβος δύναται φαίνεσθαι, καὶ τοῖς συχνῷ τοῦ θερινοῦ τροπικοῦ βορειοτέροις, καὶ πολλοὶ τῶν ἀεὶ παρ' ἡμῖν ὑπὸ γῆν ὄντων ἀστέρων, ἐν τοῖς ἡμῶν μὲν νοτιωτέροις τόποις, ἔτι δὲ τοῦ ἰσημερινοῦ βορειοτέροις, οἷον τοῖς περὶ μερόην ὑπὲρ γῆν γίνεσθαι. καθάπερ αὐτὸς ὁ κάνωβος ἐνταῦθα τοῖς βορειοτέροις ἡμῖν μὴ φαινόμενος. καί τοι τοῦτο μὲν, καὶ τοὔνομα οἱ μεσημβρινώτεροι λέγουσιν ἵππον. ἄλλου δὲ, οὐδενὸς τῶν ἡμῖν ἀγνώστων. ἐπιφέρει δὲ καὶ αὐτὸς παρειληφέναι διὰ τῶν μαθηματικῶν

τικῶν λόγων. ὅτι ὁ μὲν ὠρίων, ὅλος φαίνεται πρὸ τῶν θερινῶν τροπῶν παρὰ τοῖς ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦσιν. ὁ δὲ κύων προανατέλλειν ἄρχεται τοῦ προκύνος, παρὰ τοῖς ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦσιν, καὶ ἀπ' αὐτῶν μέχρι συήνης. ὡς μηδὲ τοῦτο τῶν φαινομένων ἴδιον εἶναί τι τῶν νοτιωτέρων οἰκήσεων τοῦ ἰσημερινοῦ.

Η αὐτὴ διόρθωσις, ἀπὸ τῶν διανύσεων τῶν κατὰ τὰς ὁδοιπορίας. η̅

ΕΠὶ δὲ τῶν διανύσεων, ἐν μὲν τῇ κατὰ γῆν ἐπιλογιζόμενος τὰς κατὰ μέρος ἡμέρας τῶν πορειῶν, τῶν ἀπὸ λέπτεως τῆς μεγάλης, ἕως τῆς ἀγίσυμβα χώρας, συνάγει ταύτην νοτιωτέραν τοῦ ἰσημερινοῦ σταδίοις δισμυρίοις τετρακισχιλίοις ἑξακοσίοις ὀγδοήκοντα. ἐν δὲ τῇ κατὰ θάλατταν διὰ τῶν ἡμερῶν πάλιν τοῦ πλοῦ, τῶν ἀπὸ πτολεμαΐδος τῆς ἐν τῇ τρωγλοδυτικῇ ἐπὶ τὸ πράσσον ἀκρωτήριον, συνάγει καὶ τοῦτο νοτιώτερον τοῦ ἰσημερινοῦ σταδίοις δισμυρίοις ἑπτακισχιλίοις ὀκτακοσίοις. ὥς τε τὸ πράσσον ἀκρωτήριον, καὶ τὴν ἀγίσυμβα χώραν, αἰθιόπων οὖσαν, καὶ ὥς αὐτός φησι, μηδὲ προσοικίζουσαν ἀπὸ νότου τὴν αἰθιοπίαν, ὑπὲρ τὴν κατεψυγμένην ζώνην φέρειν τῆς ἀντοικουμένης. οἱ γὰρ δισμύριοι ἑπτακισχίλιοι ὀκτακόσιοι στάδιοι, ποιοῦσιν ὑπὲρ τοῦ μεσημβρινοῦ μοίρας πεντηκονταπέντε, καὶ τρία πέμπτα. ὅσας ἀπέχουσιν ἐπὶ

θάτερα

θάτερα τοῦ ἰσημερινοῦ, καὶ κατὰ τὴν ὁμοίαν κρᾶσιν οἱ
τὰ βόρεια τῆς μαιώτιδος λίμνης κατανεμόμενοι σκύ-
θαι, καὶ σαρμάται. συναιρεῖ μὲν οὖν καὶ αὐτὸς τὸν ἐκ-
κείμενον σταδιασμὸν εἰς ἐλάττονα τοῦ ἡμίσεως. τουτέ-
στιν, εἰς μυρίους καὶ δισχιλίους σταδίους, ὅσους ἔγγι-
στα ὁ χειμερινὸς τροπικὸς ἀπέχει τοῦ ἰσημερινοῦ.
παρατίθεται δὲ αἰτίας τῆς συναιρέσεως, τάς τε τῶν
ἰθυτενῶν ἐκτροπάς, καὶ τὰς ἀνωμαλίας τῶν διανύ-
σεων. μονὰς παρεισάς, ἔτι πλειοτέρας καὶ πλεοχειρο-
τέρας, ἐξ ὧν οὐ τὸ μειοῦσθαι μόνον φαίνοιτ' ἂν ἀναγκαῖ-
ον, ἀλλὰ καὶ τὸ μέχρι τοσούτου. πρῶτον μὲν γὰρ ἀπὸ τῆς
ὁδοιπορίας τῆς ἀπὸ γαράμης ἐπὶ τοὺς αἰθίοπας φησὶ
Σεπτίμιον μὲν φλάκκον τὸν ἐκ τῆς λιβύης στρατευσά-
μενον ἀφικέσθαι πρὸς τοὺς αἰθίοπας ἀπὸ τῶν γαρα-
μάντων μησὶ τρισὶν ὁδεύοντα πρὸς μεσημβρίαν.
Ἰούλιον δὲ ματέρνον, τὸν ἀπὸ λέπτεως τῆς μεγάλης,
ἀπὸ γαράμης ἅμα τῷ βασιλεῖ τῶν γαραμάντων ἐ-
περχομένῳ τοῖς αἰθίοψιν, ὁδεύσαντα πάντῃ πρὸς
μεσημβρίαν μησὶ τέσσαρσιν ἀφικέσθαι εἰς τὴν ἀγί-
συμβα χώραν τῶν αἰθιόπων. ἔνθα οἱ ῥινοκέρωτες συ-
νέρχονται. ὧν ἑκάτερον, ἄπιστόν ἐστι καὶ καθ' αὑτό,
διά τε τὸ μὴ τοσούτῳ κεχωρίσθαι τοὺς ἐντὸς αἰθίοπας
τῶν γαραμάντων ὡς τριμήνου Δίοδον ἀπέχειν, ὄν-
των τε καὶ αὐτῶν ἤδη μᾶλλον αἰθιόπων, καὶ τὸν αὐ-
τὸν ἐχόντων ἐκείνοις βασιλέα. καὶ διὰ τὸ παντάπα-
σι γελοῖον εἶναι τὴν τοῦ βασιλέως ἔφοδον τῶν ὑποτετα-

γινομένων, ὥστε μίαν διάστασιν μόνην γίνεσθαι τὴν ἀπὸ ἄρκτων πρὸς μεσημβρίαν, πλεῖστον ἐφ' ἑκάτερα πρὸς ἀνατολὰς καὶ δύσεις τῶν ἐθνῶν τούτων ἐκτεινομένων, καὶ ἔτι μηδαμῇ διατριβὰς ἀξιολόγους ἐμπεποιῆσθαι. δι' ὧν εἰκὸς ἦν, στρατεύσασθαι τοὺς ἄνδρας, ἢ τὴν πρὸς μεσημβρίαν οὕτως εἰπεῖν ὡς εἰώθασιν οἱ ἐπιχώριοι λέγειν εἰς τὸν νότον, ἢ εἰς τὸν λίβα, καταχρώμενοι τοῦ μᾶλλον, ἀντὶ τῆς ἀκριβείας.

Ἡ αὐτὴ διόρθωσις ἀπὸ τῶν κατὰ πλοῦν διανύσεων. θ

Ἔπειτα καὶ τὸν μεταξὺ τῶν ἀρωμάτων, καὶ τῶν Ῥαπτῶν πλοῦν, Διογένη μέν τινά φησι τῶν εἰς τὴν Ἰνδικὴν πλεόντων ὑποστρέφοντα τὸ δεύτερον ὅτε ἐγένετο κατὰ τὰ ἀρώματα ἀπωσθῆναι ἀπαρκτίαις, καὶ ἐν δεξιᾷ ἔχοντα τὴν Τρωγλοδυτικὴν ἐπὶ ἡμέρας κε παραγενέσθαι εἰς τὰς λίμνας ὅθεν ὁ Νεῖλος ῥεῖ, ὧν εἶναι τὸ τῶν Ῥαπτῶν ἀκρωτήριον ὀλίγῳ νοτιώτερον. Θεόφιλον δέ τινα τῶν εἰς τὴν Ἀζανίαν πλεόντων ἀπὸ τῶν Ῥαπτῶν ἀναχθῆναι νότῳ, καὶ εἰκοστῇ ἡμέρᾳ, ἀναχθῆναι εἰς τὰ ἀρώματα. τούτων δὲ ἑκάτερος ὅτι τὸν πλοῦν ἡμερῶν ὅσων εἶπεν. ἀλλ' ὁ μὲν Θεόφιλος, εἰκοστῇ ἡμέρᾳ κατῆχθαι. ὁ δὲ Διογένης, κε ἡμέρας εἰκοσιπέντε παραπλεῦσαι τὴν Τρωγλοδυτικήν, ὅσας ἔπλευσαν ἱστορήσαντες. μονονουχὶ δὲ ὅσων ἐστὶν ἡμερῶν ὁ πλοῦς ἐπιλογισάμενοι διὰ τὴν τῶν πνευμάτων

τον ἐπὶ τοσοῦτον χρόνον ἀνωμαλίαν καὶ παραλλα-
γὴν, οὔθ᾽ ὅτι πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν ὅλος
αὐτοῖς γέγονεν ὁ πλοῦς. ἀλλ᾽ ὁ μὲν Διογένης, ἐξωσθῆ-
ναι μόνον ἀπαρκτίᾳ. ὁ δὲ Θεόφιλος, ἀναχθῆναι μό-
νον νότῳ. τὸν δὲ λοιπὸν πλοῦν, ὅτι τὴν αὐτὴν ἐτήρει
πρόσνευσιν, οὐδέτερος εἴρηκεν. οὐδὲ γὰρ πιθανόν ἐ-
στιν ἐπὶ τοσαύτας ἡμέρας τὴν αὐτὴν φυλαχθῆναι
πνεύματος φοράν. καὶ διὰ τοῦτο δὴ τοῦ Διογένους
τὴν ἀπὸ τῶν ἀρωμάτων ἐπὶ τὰς λίμνας, ὧν ἐστι τὸ
τῶν ῥαπτῶν ἀκρωτήριον νοτιώτερον, διάστασιν, ἡμέ-
ραις εἰκοσιπέντε διανύσαντος, ὁ Θεόφιλος τὴν
ἀπὸ τῶν ῥαπτῶν ἐπὶ τὰ ἀρώματα μείζονα οὖσαν, εἰ-
κοσαῖος διέπλευσε. καὶ τοῦ Θεοφίλου τὸν τοῦ νυχθη-
μέρου φορὸν πλεῖον χιλίων ὑποτιθεμένου σταδίων οἷς
καὶ αὐτὸς ἠκολούθησεν, ὅμως φησὶν ὑπὸ Διοσκόρου
τὸν ἀπὸ τῶν ῥαπτῶν ἐπὶ τὸ πράσον πλοῦν πολλῶν ἡ-
μερῶν ὄντα, πεντακισχιλίων μόνων ὑποτίθεσθαι στα-
δίων. ξυμβαλλόντων ὡς εἰκὸς ὄντων τῶν ὑπὸ ἰσημερι-
νὸν πνευμάτων, διὰ τὸ καὶ τὰς κατ᾽ αὐτὸν ἐπὶ τὰ
πλάγια τοῦ ἡλίου παρόδους ὀξυτέρας συνίστασθαι.
διά τε δὴ ταῦτα μᾶλλον ἔδει, μὴ κατακολουθεῖν
τῷ πλήθει τῶν ἐκτεθειμένων ἡμερῶν, καὶ διὰ τὸ πάν-
των ἐναργέστατον, ὅτι τοὺς αἰθίοπας καὶ τὴν συνέλευσιν
τῶν ῥινοκερώτων ἐπὶ τὴν κατεψυγμένην ζώνην τῇ ἀν-
τικειμένης ὁ συντιθέμενος ἐξ αὐτῶν ὑπολογισμὸς
προσάγει, πάντων ὁμοίων ταῖς κράσεσιν ὀφειλόν-

των συνίςασθαι, καὶ ζώων καὶ φυτῶν ἀκολούθως ταῖς
τοῦ περιέχοντος ἀναλογίαις, τῶν ὑπὸ τὸν αὐτὸν, ἢ
τὸν ἴσον ἀπέχοντας ὁποτέρου τῶν πόλων παραλλή-
λους γινομένων. ὅθεν ὁ μὲν Μαρῖνος μέχρι μόνου τοῦ
χειμερινοῦ τροπικοῦ συνεῖλε τὴν διάστασιν, οὐ δὲ
μιᾶς αὐτοῦ λόγου προσαρμοσθείσης αἰτίας περὶ προσῶ
τῆς συναιρέσεως, εἰ παραδέχοιτό τις καὶ τὸ πλῆθος
τῶν ἡμερῶν καὶ τὸ τεταγμένον τῶν διανύσεων ὅπερ
αὐτὸς ποιεῖ. ταῦτα γὰρ αὐτὸς τηρῶν τὸ ποσὸν μόνον τῶν
ἡμερησίων σταδίων μειοῖ παρὰ τὸ μέτριον καὶ συνή-
θες, μέχρις ἂν τὸ πέρας εἰς ὃν αὐτὸς ᾤετο δεῖν πα-
ράλληλον ἀφίκηται. τοὐναντίον Δ' ἀκόλουθον ἦν.
περὶ μὲν δυνάμεως τῆς ἡμερησίας διανύσεως πιστεύειν.
περὶ τεταγμένῳ δὲ, καὶ κατὰ τὴν ἰσότητα, καὶ κατὰ τὴν
θέσιν ἀπιστεῖν. ὡς μὴ διὰ τούτων ἐνδέχεσθαι λαβεῖν
τὴν ἐπιζητουμένην διάστασιν, οὐ μόνον ὅτι μεῖζον ἂν
γένοιτο τῆς ἐπὶ τὸν ἰσημερινὸν, ἀλλ' ἀπό τινος τῶν ἐν
ἀρκτικωτέρων φαινομένων. τὸ δὲ τοιοῦτον, ὑπῆρξε μὲν ἂν
καὶ παντάπασιν ἀκριβῶς, εἰ μαθηματικώτερόν τις
ἐπεσκεμμένος ἐτύγχανε, τὰ συμβεβηκότα ταῖς
χώραις ἐκείναις. οὐκ οὔσης δὲ τοιαύτης ἱστορίας, ἀπὸ
τῆς ἁπλουστέρας καταλείποιτ' ἂν ὁλοσχερέστερον
σκοπεῖν τὸ εὔλογον τοῦ ποσοῦ, τῆς ὑπὲρ τὸν ἰσημερινὸν
ἐκβάσεως. αὕτη δέ ἐστιν, ἡ κατὰ τὰς ἰδέας καὶ τὰς
χρόας τῶν ἐν τοῖς τόποις ζώων· ἀφ' ἧς, οὐ δὲ μέχρι τοῦ
χειμερινοῦ τροπικοῦ, φθάνειν ἀκόλουθόν ἐστι; τὴν
διὰ

διὰ τῆς Ἀγίσυμβα χώρας παράλληλον, Αἰθιόπων οὔσης σαφῶς, ἀλλ' ἐγγυτέρω τοῦ ἰσημερινοῦ καταλήγειν. οὐδὲ γὰρ παρ' ἡμῖν ἐν τοῖς ὁμοταγέσι τόποις, τουτέστι τοῖς ὑπὸ τὸν θερινὸν τροπικόν, ἤδη τὰς χρόας ἔχουσιν αἰθιόψιν, οὐδὲ ῥινοκέρωτές εἰσιν, ἢ ἐλέφαντες. ἀλλ' ἐν μὲν τοῖς οὐ πολὺ τούτου νοτιωτέροις, ἠρέμα τυγχάνουσι μέλανες, ὡς οἱ τὴν ἐντὸς Συήνης τριακοντάσχοινον οἰκοῦντες. ὅπερ ἴσον ὄντας τοὺς Γαράμαντας, καὶ ὁ Μαρῖνος διὰ ταύτην τὴν αἰτίαν, οὔτε κατ' αὐτὸν τὸν θερινὸν τροπικόν, οὔτε βορειοτέρους αὐτοῦ, νοτιωτέρους δὲ πάντως ἱδρῦσθαι φησίν. ἐν δὲ τοῖς περὶ Μερόην τόποις, ἤδη κατακόρως εἰσὶ μέλανες τὰ χρώματα, καὶ πρώτως αἰθίοπες ἄκρατοι, καὶ τὸ τῶν ἐλεφάντων, καὶ τὸ τῶν παραδοξοτέρων ζώων γένος ἐπινέμεται.

Ὅτι, οὐ δεῖ τοὺς αἰθίοπας μεσημβρινωτέρους ὑποτίθεσθαι τοῦ ἀντικειμένου παραλλήλου τοῦ διὰ Μερόης. ι

Διὸ καλῶς ἂν ἔχοι μέχρι τοῦ δεῦρο, τουτέστιν ἕως ἂν αἰθίοπας ἡμῖν ἡ παράδοσις τῶν ἐκεῖσε διαπορευομένων ἱστορῇ, καὶ τὴν Ἀγίσυμβα χώραν καὶ τὸ Πρασὸν ἀκρωτήριον μετὰ τῶν κατὰ τὸν αὐτὸν παράλληλον κειμένων, ὑπὸ τὸν ὁμοταγῆ τῷ διὰ Μερόης ἔγγιστα γράφειν. τουτέστι τὸν ἀπέχοντα τοῦ ἰσημερινοῦ πρὸς μεσημβρίαν τὰς ἴσας μοί. ις γ' ιε'.

σταδίους δὲ, ὀκτακισχιλίους διακοσίους ἔγγιστα, ὥς τε συνάγεσθαι τὸ πᾶν πλάτος ὁλοσχερέστερον, μοιρῶν μὲν οθ γ' ιβ'. ἢ ὅλων ὀγδοήκοντα. σταδίων δὲ τετρακισμυρίων. τὴν μέν τοι μεταξὺ διάστασιν τῆς μεγάλης λέπτεως καὶ τῆς γαράμης, τηρητέον, ὡς ὅ τε Φλάκκος καὶ Μάτερνος ἀπέθεντο, σταδίων πεντακισχιλίων τετρακοσίων. αἵ τε γὰρ εἴκοσιν ἡμέραι δευτέρας εἰσὶν ὁδοῦ παρὰ τὴν πρώτην τῶν τετμημένης, ὡς πρὸς τὴν μεσημβρίαν, ἢ τὰς ἀφ-κοῦ, ἐκείνης διὰ τὰς ἐκτροπὰς, ἡμερῶν οὔσης τριάκοντα. καὶ τὸν ἑκάστης ἡμέρας σταδιασμὸν, αὐτούς φησιν ἐκτεθεῖσθαι τοὺς ὁδεύσαντας πλεονάκις. οὐκ ἐνδεχόμενον ὄντα μόνον, ἀλλὰ καὶ ἀναγκαῖον διὰ τὰς τῶν ὑδρευμάτων ἀρχάς. ὥσπερ δὲ διστάζειν δεῖ περὶ τῶν μεγάλων καὶ σπανίως ἢ μὴ ὁμολογουμένως ἐφοδευθεισῶν ἀποστάσεων, οὕτως περὶ τῶν μή τε μεγάλων, ἀλλὰ καὶ πολλάκις, καὶ ὑπὸ πολλῶν ὁμολογουμένως διανυσμένων πιστεύειν.

Περὶ τῶν, εἰς τὸ μῆκος, τῆς οἰκουμένης ὑπὸ τοῦ Μαρίνου, μὴ δεόντως ὑπολελογισμένων. ια

ΕΠὶ πόσον μὲν οὖν καλῶς ἂν ἔχοι τὸ πλάτος τῆς οἰκουμένης ἐκτείνειν, ἀπὸ τούτων ἡμῖν γεγονέτω δῆλον. τὸ δὲ μῆκος, ὁ μὲν Μαρῖνος ποιεῖ περιεχόμενον, ὑπὸ δύο μεσημβρινῶν τῶν ἀφοριζόντων ὡ-

ριαῖα

ὅλα διαστήματα ιε. ἡμῖν δὲ δοκεῖ καὶ ταύτης τῆς διαστάσεως τὸ πρὸς ἀνατολὰς μέρος, ἐκτετάσθαι πλεῖον ἢ δεῖ. συναιρεθείσης τε τῆς εὐλόγου καὶ ἐνταῦθα γινομένης, τὸ πᾶν μῆκος, μὴ ὅλων ἂν δώδεκα συσταθῆναι διαστημάτων ὡραίων. ἕως μὲν τοῦ δυτικωτάτου πέρατος, ὁμοίως τιθεμένων τῶν μακάρων νήσων. ἕως δὲ τοῦ πρὸς ἀναβολὰς τῶν ἀφηλιωτικωτέρων μερῶν, σήρας τε καὶ σινῶν καὶ καττιγάρων. τὴν μὲν γὰρ ἀπὸ τῶν μακάρων νήσων διάστασιν ἕως τῆς κατὰ ἱεράπολιν τοῦ εὐφράτου διαβάσεως ὡς ἕως τοῦ διὰ τῆς ῥοδίας παραλλήλου τεταγμένην, ἀκολούθως ληπτέον τοῖς κατὰ μέρος ἐκτεθεῖσιν ὑπ' αὐτοῦ σταδιασμοῖς. διά τε τὸ συνεχὲς τῆς πείρας, καὶ ἐπεὶ φαίνεται συμπεπλεγμένος ὡς ἐπὶ τῶν μειζόνων ἀπ' ἀρχῶν τὸ παρὰ τὰς ἐκτροπὰς καὶ τὰς ἀνωμαλίας τῶν διανύσεων διορθώσεως ὀφεῖλον τυχεῖν. ἔτι τὸ τὴν μὲν μίαν μοῖραν ὅπου ἐστὶν ὁ μέγιστος κύκλος μοιρῶν τξ, πεντακοσίους ἕως τῆς ἐπιφανείας τῆς γῆς ἀπολαμβάνειν σταδίους, ὅτι ταῖς ὁμολογουμέναις ἀναμετρήσεσι, σύμφωνόν ἐστι. τὴν δ' ὁμοίαν αὐτῇ περιφέρειαν τοῦ διὰ τῆς ῥοδίας παραλλήλου, τουτέστι τοῦ ἀπέχοντος ἀπὸ τοῦ ἰσημερινοῦ μοίρας τριακονταέξ, τετρακοσίων ἔγγιστα σταδίων. τὸ γὰρ ὑπερβάλλον αὐτῶν κατὰ τὸν τῶν λόγον τῶν παραλλήλων ἀκόλουθον ὀλίγον ὄν, ὡς ἐν ὁλοσχερεῖ καταλήψει παραλελείφθω. τὴν δὲ ἀπὸ τῆς ἐκτιθεμένης τοῦ εὐφράτου διαβάσεως μέχρι τοῦ λιθίνου πύργου διάστασιν συναγομένην

κατ'

κατ' αὐτὸν σχοίνων ὀκτακοσίων ἑβδομηκονταέξ. στα-
δίων δὲ, δισμυρίων ἑξακισχιλίων διακοσίων ὀγδοή-
κοντα. καὶ τὴν ἀπὸ τοῦ λιθίνου πύργου μέχρι σήρας
τῆς τῶν σινῶν μητροπόλεως, ὁδὸν μὲν μηνῶν ἑπτὰ, στα-
δίων δὲ τρισμυρίων πεντακισχιλίων διακοσίων, ὡς
ἐπὶ τοῦ αὐτοῦ παραλλήλου, συναιροῦμεν ἑκατέραν
κατὰ τὴν ἐπιβάλλουσαν διόρθωσιν. ἐπειδήπερ ἐπ'
ἀμφοτέρων μὲν τῶν ὁδῶν, φαίνεται μὴ μειώσας τὸ
παρὰ τὰς ἐκτροπὰς πλεονάζον. ἐπὶ δὲ τῆς δευτέ-
ρας ἔτι καὶ ταῖς αὐταῖς ἀλογίαις περιπεπτωκώς,
αἷς καὶ κατὰ τὴν ὁδὸν τὴν ἀπὸ τῶν γαραμάντων ἐπὶ
τὴν ἀγίσυμβα χώραν. ἱκανεῖ γὰρ τοῦ συναγομένου
σταδιασμοῦ διὰ τῶν τεσσάρων μηνῶν, καὶ τῶν δεκα-
τεσσάρων ἡμερῶν, ἠναγκάσθη καθελεῖν πλέον, ἢ τὸ
ἥμισυ μέρος. ὅτι μὴ συνεχῆ τὴν ὁδοιπορίαν ἐνδεχό-
μενον ἦν ἐπὶ τοσοῦτον γεγονέναι χρόνον. ὅπερ καὶ κατὰ
τὴν ἑπτάμηνον, εὔλογόν ἐστι συμβεβηκέναι, καὶ πο-
λὺ μᾶλλον, ἢ κατὰ τὴν ἀπὸ γαραμάντων ὁδόν. αὕτη μὲν
γὰρ, καὶ ὑπὸ τοῦ βασιλέως τῆς χώρας διηνύσθη, μετὰ
προνοίας ὡς εἰκὸς οὐ τῆς τυχούσης, καὶ εὐδεινὴ οὖσα
παντάπασιν. ἡ δ' ἀπὸ τοῦ λιθίνου πύργου μέχρι τῆς
σήρας, ἐπιδέχεται χειμῶνας σφοδρούς. ὑποπέπτω-
κε γὰρ ἐξ ὧν αὐτὸς ὑποτίθεται, τοῖς δι' ἑλλησπόντου
καὶ βυζαντίου παραλλήλοις. ὥστε εἰκὸς διὰ τοῦτο, πολ-
λὰς ἀνοχὰς δεῖν γίνεσθαι τῆς πορείας. καὶ γὰρ δι' ἐμ-
πορίας ἀφορμὴν ἐγνώσθη. Μάρην γάρ φησι τινὰ τὸν

καὶ

καὶ Τιτιανὸν, ἄνδρα μακεδόνα καὶ ἐκ πατρὸς ἔμπορον, συγγράψασθαι τὴν ἀναμέτρησιν, οὐδ' αὐτὸν ἐπελθόντα, διαπεμψάμενον δέ τινας πρὸς τοὺς σῆρας. ἔοικε δὲ καὶ αὐτὸς ἀπιστεῖν, ταῖς τῶν ἐμπορευομένων ἱστορίαις. περὶ γοῦν τοῦ Φιλήμονος λόγου, δι' οὗ τὸ μῆκος τῆς ἰουερνίας νήσου, τὸ ἀπὸ ἀνατολῶν ἐπὶ Δυσμὰς, ἡμερῶν εἴκοσι παραδέδωκεν, οὐ συγκατατίθεται διὰ τὸ φάναι αὐτὸν ἀπὸ ἐμπόρων ἀκηκοέναι. τούτους γάρ φησι μὴ φροντίζειν τὴν ἀλήθειαν ἐξετάζειν, ἀσχολουμένους περὶ τὴν ἐμπορείαν. πολλάκις δὲ καὶ αὔξειν μᾶλλον τὰ διαστήματα δι' ἀλαζονείαν. ἐνταῦθα δὲ καὶ τὸ μηδὲν ἄλλο κατὰ τὴν τῆς ἑπταμήνου διάνυσιν ὑπὸ τῶν διοδευσάντων ἱστορίας τινὸς ἢ μνήμης ἠξιῶσθαι, τερατείαν ἐμφαίνει περὶ τὸ τοῦ χρόνου μῆκος.

Διόρθωσις ἀπὸ τῶν ὁδοιπορειῶν τοῦ μήκους τῆς ἐγνωσμένης γῆς. ια

Διά τε δὴ ταῦτα, καὶ διὰ τὸ μὴ εἶναι τὴν ὁδὸν ὑφ' ἕνα παράλληλον· ἀλλὰ τὸν μὲν λίθινον πύργον περὶ τὸν διὰ βυζαντίου, τὴν δὲ σήραν τοῦ δι' ἑλλησπόντου νοτιωτέραν· εὔλογον μὲν ἂν δόξειε καὶ ταῦτα τὸ πλῆθος τῶν ἐκ τῆς ἑπταμήνου σταθμισμοῦ συναγομένων σταδίων, τρισμυρίων ἑξακισχιλίων διακοσίων, μὴ εἰς ἔλαττον μειοῦν τοῦ ἡμίσεως. ἀλλ' εἰς τὸ ἥμισυ συνῃρήσθω μόνον, ὡς ἐν ὅλοις χωρεῖ διαλήψει. ὥς τε

λογίζεσθαι, τὴν ἐκκειμένην διάστασιν, σταδίων μὲν, δισμυρίων δισχιλίων ἑξακοσίων εἰκοσιπέντε. μονῶν δὲ, τεσσαρακονταπέντε τεσσάρων. τὸ γὰρ, ἅπερ ἂν εἴη τὸ ἄγνωμον τοῦ λόγου καθ᾽ ἑκατέραν τῶν ὁδῶν τὴν τοσαύτην μείωσιν ὑποβάλλοντος· ἐπὶ μὲν τῆς ἀπὸ τῶν γαραμαντῶν ἀκολουθεῖν αὐτῷ διὰ τὸ παράδοξον εἶναι τὸν ἔλεγχον, τουτέστι τὰς τῶν κατὰ τὴν ἀγίσυμβα χώραν ζώων διαφορὰς, μὴ δυναμένους ὑπερενεχθῆναι τῶν κατὰ φύσιν τόπων· ἐπὶ δὲ τῆς ἀπὸ τοῦ λιθίνου πύργου, μὴ παραλαμβάνειν τοῦ λόγου τὸ ἀκόλουθον, ὅτι μὴ ἱκανεῖ, τοῦτον ἔλεγχον ἐπακολουθεῖν συμβέβηκεν· ἀλλὰ καθ᾽ ὅλην τὴν διάστασιν, ὅμοιον εἶναι τὸ ποιεῖν, ἄν τε μεῖζον, ἄν τε ἔλαττον ᾖ. ὥσπερ ἂν, εἴ τις εἰ μὴ καταφορὸς ἔσοιτο μὴ δικαιοπραγοίη κατὰ τὸν οἰκεῖον τῇ φιλοσοφίᾳ τρόπον. καὶ τῆς προτέρας δὲ διαστάσεως λέγω τῆς ἀπὸ τοῦ εὐφράτου ἐπὶ τὸν λίθινον πύργον, τὰς ὀκτακοσίας ἑβδομηκονταὲξ σχοίνους καθαιρετέον, διὰ τὰς τῶν ὁδῶν ἐκτροπὰς, εἰς μόνας τὰς ὀκτακοσίους σχοίνους· σταδίους δὲ δισμυρίους τετρακισχιλίους. πιστευέσθω γὰρ αὐτὸ τὸ συνεχὲς, ὅτι καὶ κατὰ σύμμετρα μέρη, καὶ τετιμημένα ἤδη τῆς ἀναμετρήσεως ἔτυχεν. ὅτι μέν τοι πλείστους ἐκτροπὰς ἔχει, δῆλον δ᾽ ἐστὶν ἐξ ὧν καὶ ὁ Μαρῖνος ὑποτίθεται. τὴν μὲν γὰρ ἀπὸ τῆς κατὰ ἱεράπολιν τοῦ εὐφράτου διαβάσεως διὰ τῆς μεσοποταμίας ἐπὶ τὸν τίγριν ὁδὸν, καὶ τὴν ἐντεῦθεν διὰ γαραμαίων τῆς ἀσυρίας

καὶ

καὶ Μηδίας εἰς Ἐκβάτανα, καὶ Κασπίας πύλας καὶ τῆς Παρθείας εἰς Ἑκατόμπυλον, ἐνδέχεται ποιεῖ τὸν διὰ τῆς Ῥοδίας πίπτειν παράλληλον. οὗτος γὰρ, καὶ κατ᾽ αὐτὸν γράφεται διὰ τῶν εἰρημένων χωρῶν. τὴν δὲ εἰς Ὑρκανίαν πόλιν ἀπὸ τῆς Ἑκατομπύλου πρὸς ἄρκτους ἀποκλίνειν ἀναγκαῖον, τῆς Ὑρκανίας πόλεως μεταξύ πως κειμένης τοῦ τε διὰ Σμύρνης παραλλήλου, καὶ τοῦ Ἑλλησπόντου. διὰ τὸ, τὸν μὲν διὰ Σμύρνης γράφεσθαι ὑπ᾽ αὐτὴν τὴν Ὑρκανίαν χώραν. τὸν δὲ δι᾽ Ἑλλησπόντου διὰ τῶν νοτίων μερῶν τῆς Ὑρκανίας θαλάσσης ἀπὸ τῆς ὁμωνύμου πόλεως, ἥ ἐστιν ὀλίγῳ βορειοτέρα. πάλιν δὲ ἡ ἀπὸ ταύτης ὁδὸς εἰς τὴν Μαργιανὴν Ἀντιόχειαν διὰ τῆς Ἀρείας, τὰ μὲν πρῶτα, πρὸς μεσημβρίαν ἀποκλίνει, τῆς Ἀρείας ὑπὸ τὸν αὐτὸν ταῖς Κασπίαις πύλαις κειμένης παράλληλον. ἔπειτα πρὸς ἄρκτους τῆς Ἀντιοχείας περὶ τὸν δι᾽ Ἑλλησπόντου παράλληλον ἱδρυμένης. ἀφ᾽ ἧς ἡ μὲν ἐπὶ τὰ Βάκτρα ὁδὸς, ἐκτείνεται πρὸς ἀνατολὰς, ἡ δ᾽ ἐντεῦθεν, ἐπὶ τὴν ἀνάβασιν τῆς τῶν Κωμηδῶν ὀρεινῆς, πρὸς ἄρκτους. ἡ δὲ τῆς ὀρεινῆς αὐτῆς μέχρι τῆς ἐκδεχομένης τὰ πεδία φάραγγος, πρὸς μεσημβρίαν. τὰ μὲν γὰρ βόρεια καὶ δυσμικώτατα τῆς ὀρεινῆς, ἔνθα ἐστὶν ἡ ἀνάβασις, τίθησιν ὑπὸ τὸν διὰ Βυζαντίου παράλληλον. τὰ δὲ νότια καὶ πρὸς ἀνατολὰς ὑπὸ τὸν δι᾽ Ἑλλησπόντου. διότι φησὶν αὐτὴν ἀντικρὺ προσιοῦσαν ὡς πρὸς ἀνατολὰς, ἐνδιδόναι πρὸς νότον. καὶ τὴν ἐντεῦ-

θεν δὲ πεντηκοντασχοινον ἐπὶ τοῦ λιθίνου πύργου, πρὸς ἄρκτους εἰκὸς ἐστιν ἀποκλίνειν. ἀναβαινόντων γάρ φησι τὴν φάραγγα διαδέχεται ὁ λίθινος πύργος, ἀφ' οὗ εἰς τὰς ἀνατολὰς τὰ ὄρη χωροῦντα, συνάπτει τῷ ἰμάῳ, ἀνιόντι ἀπὸ παλιμβόθρων πρὸς ἄρκτους. συντιθεμένων οὖν τῶν ὑποβαλλουσῶν τοῖς δισμυρίοις τετρακισχιλίοις σταδίοις μοιρῶν ξ̄. τοῖς ἀπὸ τοῦ λιθίνου πύργου μέχρι τῆς σήρας με̄ δ', εἴη ἂν τὸ ἀπὸ τοῦ εὐφράτου μέχρι τῆς σήρας διάστημα κατὰ τὸν τῆς ῥοδίας παράλληλον μοιρῶν ρε̄ δ'. συνάγεται δὲ κατ' αὐτὸν ἐξ ὧν ὑποτίθεται κατὰ μέρος σταδιασμῶν, ὡς ὑπὸ τὸν αὐτὸν παράλληλον. τὸ μὲν ἀπὸ τοῦ διὰ τῶν μακάρων νήσων μεσημβρινοῦ, ἕως τοῦ ἱεροῦ ἀκρωτηρίου τῆς ἱσπανίας διάστημα, μοιρῶν δύο ἡμίσους. τὸ δ' ἐντεῦθεν, ἐπὶ τὰς τοῦ βαίτιος ἐκβολὰς ὁμοίως. καὶ τὸ ἀπὸ βαίτιος ἐπὶ τὸν πορθμὸν καὶ τὴν κάλπην, ἑκάτερον τῶν ἴσων β̄ ἡμίσους. τῶν δ' ἐφεξῆς τὸ μὲν ἀπὸ πορθμοῦ μέχρι καράλεως τῆς σαρδόνος μοιρῶν κε̄. τὸ δὲ ἀπὸ καράλεως εἰς λιλύβαιον τῆς σικελίας μοί δ̄ ∠'. τὸ δ' ἐντεῦθεν εἰς πάχυνον μοί τρεῖς. καὶ πάλιν, τὸ μὲν εἰς ταίναρον τῆς λακωνικῆς ἀπὸ παχύνου μοί ῑ. τὸ δ' ἐντεῦθεν εἰς ῥόδον η̄ δ'. τὸ δ' ἀπὸ ῥόδου πρὸς τὴν ἰσσὸν ια̅ δ. τὸ δὲ εἰς εὐφράτην ἀπὸ τῆς ἰσσοῦ δύο ἡμίσους. ὥστε συνάγεσθαι καὶ ταύτης μὲν τῆς διαστάσεως μοί οβ̄. τοῦ δ' ὅλου τῆς ἐγνωσμένης γῆς μήκους ἀπὸ τοῦ διὰ

τῶν

τῶν μακάρων νήσων μεσημβρινοῦ μέχρι τῆς σήρας τὰς ἐπὶ γραμμῶν μοίρας ροζ δ'.

Ἡ αὐτὴ διόρθωσις ἀπὸ τῶν κατὰ πλοῦν διανύσεων. ιγ

Στοχάζοιτο δ' ἄν τις τηλικοῦτον εἶναι τὸ μῆκος, ἐξ ὧν ἐκτίθεται διαστημάτων κατὰ τὸν πλοῦν, τὸν ἀπὸ τῆς ἰνδικῆς, μέχρι τοῦ τῶν σινῶν κόλπου καὶ τῶν καττιγάρων, ἐὰν τὸ παρὰ τὰς κολπώσεις καὶ τὰς ἀνωμαλίας τῶν πλῶν, καὶ ἔτι τὰς θέσεις ἐπιλογίζηται κατὰ συνεγγισμὸν τῶν ἐπιβολῶν. ἀπὸ γὰρ τοῦ μετὰ τὸν γαγγητικὸν κόλπον ἀκρωτηρίου ὃ καλεῖται κῶρυ, τὸν ἀργαρικὸν κόλπον φησὶ διαδέχεσθαι, σταδίων ὄντα μέχρι κουρούλα πόλεως τρισχιλίων τεσσαράκοντα, καὶ κεῖσθαι τοῦ κῶρυ τὴν κούρουλαν πόλιν ὡς ἀπὸ βορέου. συνάγοιτ' ἂν οὖν ἡ διαπεραίωσις ὑφαιρουμένου τοῦ τρίτου κατὰ τὸ ἀκόλουθον τοῦ γαγγητικοῦ κόλπου, δισχιλίων τριάκοντα ἔγγιστα σταδίων, μετὰ τῆς ἀνωμαλίας τῶν δρόμων. ἐξ ὧν εἰς τὴν συνέχειαν ὑπολογισθέντος ἔτι τοῦ τρίτου, καταλειφθήσονται στάδιοι χίλιοι τριακόσιοι πεντήκοντα ἔγγιστα κατὰ τὴν πρὸς βορρᾶν θέσιν. ἧς μεταφερομένης ἐπὶ τὴν τῷ ἰσημερινῷ παράλληλον, καὶ ὡς πρὸς ἀπηλιώτην μειώσει τοῦ ἡμίσεως ἀκολούθως τῇ μεταλαμβανομένῃ γωνίᾳ, ἕξομεν τὴν μεταξὺ τῶν δύο μεσημβρινῶν διάστασιν. τήν τε διὰ τοῦ κῶρυ ἀκρωτηρίου, καὶ τοῦ διὰ τῆς

κούρουλα πόλεως, σταδίων μὲν ἑξακοσίων οε̄. μοίρας δὲ μιᾶς ἔγγιστα καὶ τρίτου. διὰ τὸ τοὺς διὰ τούτων τῶν τόπων παραλλήλους μηδενὶ ἀξιολόγῳ διαφέρειν τοῦ μεγίστου κύκλου. πάλιν ἀπὸ κούρουλα πόλεως ὁ πλοῦς φησιν ἐστὶ πρὸς χειμερινὰς ἀνατολὰς ἕως παλούρων σταδίων ἐνακισχιλίων τετρακοσίων πεντήκοντα. ὧν καὶ αὐτῶν τὸ τρίτον ὁμοίως ἀφελόντες ὑπὲρ τῆς ἀνωμαλίας τῶν δρόμων, ἕξομεν τὴν ἐκ τῆς συνεχείας ἐσομένην διάστασιν τὴν ὡς πρὸς εὖρον, σταδίων ἑξακισχιλίων τριακοσίων ἔγγιστα. καὶ τούτων δὲ τὸ ἕκτον ἀφελόντες, ὑπὲρ τοῦ τὴν παράλληλον τῷ ἰσημερινῷ περιίστασθαι διάστασιν, εὑρήσομεν καὶ τὴν τούτων τῶν μεσημβρινῶν ἀποχὴν, σταδίων φσν̄. μοιρῶν δὲ Δέκα ἡμίσους. ἐντεῦθεν δὲ τὸν μὲν κόλπον τὸν γαγγητικὸν ἐκτίθεται σταδίων μυρίων ἐνακισχιλίων. τὸν δὲ διάπλουν αὐτοῦ τὸν ἀπὸ παλούρων ἐπὶ σάδαν. πόλιν σταδίων μυρίων τρισχιλίων ὡς πρὸς ἰσημερινὴν ἀνατολήν. διὸ μόνον τὸ τρίτον τούτων ὑπολογιστέον ὑπὲρ τῆς ἀνωμαλίας τοῦ πλοῦ. ὡς καταλείπεσθαι καὶ τὴν τούτων τῶν μεσημβρινῶν διάστασιν, σταδίων ωχο̄. μοιρῶν δὲ ιζ ς΄. ἐφεξῆς δὲ τὸν ἀπὸ σάδας πλοῦν ἕως ταμάλας πόλεως, ποιεῖται σταδίων ς φ̄ ὡς πρὸς χειμερινὰς ἀνατολάς. ὑπὲρ μὲν οὖν τῆς ἀνωμαλίας πάλιν τὸ τρίτον αὐτῶν ἀφελόντες, ἕξομεν τοῦ συνεχοῦς δρόμου, σταδίους μ. τ̄ λ̄. διὰ δὲ τὴν πρὸς εὖρον νεῦσιν τὸ ἕκτον ἔτι τούτων προ-

συπολογ-

συναπολογισάντων, εὑρήσομεν καὶ τὴν τῶν ἐκκειμένων μεσημβρινῶν διάστασιν, σταδίων μὲν, χιλίων ἑνακοσίων τεσσαράκοντα. μοιρῶν δὲ ἔγγιστα τριῶν ἡμίσους τρίτου. μετὰ δὲ ταῦτα ἀπὸ Ταμάλας ἐπὶ τὴν Χρυσῆν Χερσόνησον διάπερασμα, σταδίων ἐκτίθεται χιλίων ἑξακοσίων ὡς πρὸς χειμερινὰς πάλιν ἀνατολάς. ὥστε καὶ ἐνταῦθα τῶν ὁμοίων μερῶν ὑφαιρεθέντων καταλείπεσθαι τὴν τῶν μεσημβρινῶν διάστασιν, σταδίων μὲν ἑνακοσίων, μοίρας δὲ μιᾶς καὶ τεσσάρων πέμπτων. συνάγεσθαί τε τὴν ἀπὸ τοῦ Κώρυ ἀκρωτηρίου μέχρι τῆς Χρυσῆς Χερσονήσου διάστασιν μοιρῶν λδ, καὶ τεσσάρων πέμπτων.

Περὶ τοῦ ἀπὸ τῆς Χρυσῆς Χερσονήσου, ἐπὶ τὰ Κάττιγαρα διάπλου. ιδ

ΤΟΥ δ' ἀπὸ τῆς Χρυσῆς Χερσονήσου ἐπὶ τὰ Κάττιγαρα διάπλου τὸν σταδιασμὸν, ὁ Μαρῖνος οὐκ ἐκτίθεται. φησὶ δὲ, Ἀλέξανδρον ἀναγεγράφθαι τὴν γῆν ἐντεῦθεν ἐναντίαν εἶναι τῇ μεσημβρίᾳ καὶ τοὺς πλέοντας παρ' αὐτὴν ἐν ἡμέραις εἴκοσι καταλαμβάνειν πόλιν Ζάβας. ἀπὸ δὲ τῶν Ζαβῶν πρὸς νότον διαπλεύσαντας, καὶ μᾶλλον εἰς τὰ εὐώνυμα ἡμέρας τινὰς, ἐκδέχεσθαι τὰ Κάττιγαρα. μηκύνει μὲν οὖν αὐτὸς τὴν ἐκκειμένην διάστασιν, ἀκούων τινὰς, ἀντὶ τοῦ πολλάς. διὰ τὸ πλῆθος γάρ φησι μὴ περιληφθῆναι αὐτὰς ἀριθμῷ. γελοίως οἶμαι τοῦτό γε. τίς γὰρ

ἀριθμὸς ἡμερῶν ἄῤῥητος εἶναι, κἂν ὅλης τῆς γῆς πε-
περασμένης περίοδον ἔχῃ; τί δ' ἐκώλυε τὸν ἀλέξαν-
δρον ἀντὶ τοῦ τινὰς, εἰπεῖν πολλὰς, ὡς τὸν Διόσκο-
ρον ἔφη πολλῶν ἡμερῶν ἱστορῆσαι τὸν ἀπὸ τῶν ῥα-
πτῶν ἐπὶ τὸ πράσον πλοῦν. εὐλογώτερον δ' ἄν τις ἐκ-
δέχοιτο τὰς τινὰς ὡς ὀλίγας. καὶ γὰρ οὕτως εἰώθαμεν
κατηγορεῖν τὸν τρόπον. ἀλλ' ἵνα μὴ δόξωμεν καὶ αὐτοὶ
πρὸς κείμενόν τι πλῆθος ἐφαρμόζειν τὰς τῶν ἀρ-
χῶν εἰκασίας, παραλαμβάνωμεν τὸν ἀπὸ τῆς χρυσῆς
χερσονήσου μέχρι κατιγάρων πλοῦν, συγκείμενον
ἔκ τε εἴκοσιν ἡμερῶν, τῶν ἐπὶ ζάβας, καὶ ἐξ ἄλλων τι-
νῶν, τῶν ἐπὶ τὰ κατίγαρα. ὥσπερ τὸν ἀπὸ τῶν ἀρω-
μάτων ἐπὶ τὸ πράσον ἄκρον, συγκείμενον καὶ αὐτὸν
ἔκ τε τῶν ἴσων ἡμερῶν εἴκοσιν τῶν ἐπὶ τὰ ῥαπτὰ κατὰ
Θεόφιλον καὶ ἐξ ἄλλων πολλῶν τῶν ἐπὶ τὸ πράσον
κατὰ διόσκορον. ἵνα καὶ κατὰ τὸν Μαρῖνον ἐν ἴσῳ θῶμεν
τὰς τινὰς ἡμέρας ταῖς πολλαῖς εἰκάσαντα. ἐπεὶ τοί-
νυν ἀπεδείξαμεν, ἔκ τε τῶν εὐλόγων, καὶ ἐξ αὐτῶν
τῶν φαινομένων, τὸ πράσον ὑπὸ τὸν παράλληλον τὸν ἀ-
πέχοντα πρὸς μεσημβρίαν τοῦ ἰσημερινοῦ μοι ιϛ
γ' ιβ. διέστηκε δὲ καὶ ὁ τοῦ ἰσημερινοῦ καὶ ὁ διὰ τῶν
ἀρωμάτων παράλληλος πρὸς τὰς ἄρκτους μοι Δ
Δ'. ὥστε συνάγεσθαι τὴν ἀπὸ τῶν ἀρωμάτων ἐπὶ
τὸ πράσον διάστασιν μοιρῶν κ̄, καὶ διμοίρου· τῶν ἴσων
ἂν εἰκότως θείημεν, καὶ τὴν ἀπὸ τῆς χρυσῆς ἐπὶ ζά-
βας. κἀκεῖθεν ἐπὶ τὰ κατίγαρα. τὴν μὲν οὖν ἀπὸ τῆς

χρυσῆς

χρυσῆς χερσονήσου ἐπὶ ζάβας, ὃ δή γε δεῖ μειοῦν, παράλληλον ὄντα τῷ ἰσημερινῷ, διὰ τὸ τὴν μεταξὺ χώραν ἐναντίαν ἐκτετάσθαι τῇ μεσημβρίᾳ. τὴν δ' ἀπὸ ζαβῶν ἐπὶ τὰ καττίγαρα, προσήκει συστέλλειν, διὰ τὸ τὸν πλοῦν εἶναι πρὸς νότον καὶ πρὸς ἀνατολάς, ἵνα τὴν παράλληλον τῷ ἰσημερινῷ λάβωμεν θέσιν. εἰ δὴ τὸ ἥμισυ τῶν μοιρῶν προσνείμαιμεν ἑκατέρᾳ τῶν διαστάσεων διὰ τὸ ἄδηλον αὐτῶν τῆς ὑπεροχῆς, καὶ τῶν ἀπὸ ζαβῶν ἐπὶ τὰ καττίγαρα μοιρῶν ῑ γ΄. τὸ τρίτον πάλιν ὑπολογισάμενοι ὑπὲρ τῆς ἐγκλίσεως, ἕξομεν καὶ τὴν ἀπὸ τῆς χρυσῆς χερσονήσου ἐπὶ τὰ καττίγαρα διάστασιν. ὡς ἐπὶ παραλλήλου τῷ ἰσημερινῷ θέσεως μοιρῶν ιζ̄ ἕκτον ἔγγιστα. ἐδέδεικτο δὲ καὶ ἡ ἀπὸ τοῦ κώρυ ἀκρωτηρίου μέχρι τῆς χρυσῆς χερσονήσου μοιρῶν λδ̄. καὶ τεσσάρων πέμπτων. πᾶσα ἄρα ἡ ἀπὸ τοῦ κώρυ μέχρι καττιγάρων μοιρῶν ἐστὶν ἔγγιστα νβ̄. ἀλλ' ὁ μὲν διὰ τῆς ἀρχῆς τοῦ ἰνδοῦ ποταμοῦ μεσημβρινὸς ὀλίγῳ δυτικώτερός ἐστι τοῦ βορείου τῆς ταπροβάνης ἀκρωτηρίου κατὰ τὸν Μαρῖνον, ὅπερ ἀντίκειται τῷ κώρυ. τούτου δ' ἀφέστηκεν ὁ διὰ τῶν ἐκβολῶν τοῦ βαίτιος ποταμοῦ ὡριαῖα διαστήματα η̄. μοιρῶν δὲ ρκ̄. ἔτι ὁ διὰ τῶν ἐκβολῶν τοῦ βαίτιος τοῦ διὰ τῶν μακάρων νήσων, μοιρῶν ε̄. ὥστε καὶ ὁ μὲν διὰ τοῦ κώρυ μεσημβρινὸς ἀπέχει τοῦ διὰ τῶν μακάρων νήσων μικρῷ πλέον ρκε̄ μοιρῶν. ὁ δὲ διὰ καττιγάρων τοῦ διὰ τῶν μακάρων νήσων μικρῷ πλέον τῶν

κατ' αὐτὸν σχοίνων ὀκτακοσίων ἑβδομηκονταέξ. σταδίων δὲ, δισμυρίων ἑξακισχιλίων διακοσίων ὀγδοήκοντα. καὶ τὴν ἀπὸ τοῦ λιθίνου πύργου μέχρι σήρας τῆς τῶν σινῶν μητροπόλεως, ὁδὸν μὲν μηνῶν ἑπτὰ, σταδίων δὲ τρισμυρίων πεντακισχιλίων διακοσίων, ὡς ἐπὶ τοῦ αὐτοῦ παραλλήλου, συναιροῦμεν ἑκατέραν κατὰ τὴν ἐπιβάλλουσαν διόρθωσιν. ἐπειδή περ ἐπ' ἀμφοτέρων μὲν τῶν ὁδῶν, φαίνεται μὴ μειώσας τὸ παρὰ τὰς ἐκτροπὰς πλεονάζον. ἐπὶ δὲ τῆς δευτέρας ἔτι καὶ ταῖς αὐταῖς ἀλογίαις περιπεπτωκώς, αἷς καὶ κατὰ τὴν ὁδὸν τὴν ἀπὸ τῶν γαραμάντων ἐπὶ τὴν ἀγίσυμβα χώραν. ἐκεῖ γὰρ τοῦ συναγομένου σταδιασμοῦ διὰ τῶν τεσσάρων μηνῶν, καὶ τῶν δεκατεσσάρων ἡμερῶν, ἠναγκάσθη καθελεῖν πλέον, ἢ τὸ ἥμισυ μέρος. ὅτι μὴ συνεχῆ τὴν ὁδοιπορίαν ἐνδεχόμενον ἦν ἐπὶ τοσοῦτον γεγονέναι χρόνον. ὅπερ καὶ κατὰ τὴν ἑπτάμηνον, εὔλογόν ἐστι συμβεβηκέναι, καὶ πολὺ μᾶλλον, ἢ κατὰ τὴν ἀπὸ γαραμάντων ὁδόν. αὕτη μὲν γὰρ, καὶ ὑπὸ τοῦ βασιλέως τῆς χώρας ἠνύσθη, μετὰ προνοίας ὡς εἰκὸς οὐ τῆς τυχούσης, καὶ εὐδιεινὴ οὖσα πανταπᾶσιν. ἡ δ' ἀπὸ τοῦ λιθίνου πύργου μέχρι τῆς σήρας, ἐπιδέχεται χειμῶνας σφοδρούς. ὑποπέπτωκε γὰρ ἐξ ὧν αὐτὸς ὑποτίθεται, τοῖς δι' ἑλλησπόντου καὶ βυζαντίου παραλλήλοις, ὥστε καὶ διὰ τοῦτο, πολλὰς ἀνοχὰς δεῖν γίνεσθαι τῆς πορείας. καὶ γὰρ δι' ἐμπορείας ἀφορμὴν ἐγνώσθη. Μάην γάρ φησι τινὰ τὸν

καὶ

καὶ Τιτιανόν, ἄνδρα μακεδόνα καὶ ἐκ πατρὸς ἔμπορον, συγγράψασθαι τὴν ἀναμέτρησιν, οὐ δι' αὐτὸν ἐπελθόντα, διαπεμψάμενον δέ τινας πρὸς τοὺς σῆρας. ἔοικε δὲ καὶ αὐτὸς ἀπιστεῖν, ταῖς τῶν ἐμπορευομένων ἱστορίαις. περὶ γοῦν τοῦ Φιλήμονος λόγου, δι' οὗ τὸ μῆκος τῆς ἰουερνίας νήσου, τὸ ἀπ' ἀνατολῶν ἐπὶ Δυσμὰς, ἡμερῶν εἴκοσι παραδέδωκεν, οὐ συγκατατίθεται διὰ τὸ φάναι αὐτὸν ἀπὸ ἐμπόρων ἀκηκοέναι. τούτους γάρ φησι μὴ φροντίζειν τὴν ἀλήθειαν ἐξετάζειν, ἀσχολουμένους περὶ τὴν ἐμπορίαν. πολλάκις δὲ καὶ αὔξειν μᾶλλον τὰ διαστήματα διὰ ἀλαζονείαν. ἐνταῦθα δὲ καὶ τὸ μηδὲν ἄλλο κατὰ τὴν τῆς ἑπταμήνου διάνυσιν ὑπὸ τῶν διοδευσάντων ἱστορίας τινὸς ἢ μνήμης ἠξιῶσθαι, τὴν στρατείαν ἐμφαίνει περὶ τὸ τοῦ χρόνου μῆκος.

Διόρθωσις ἀπὸ τῶν ὁδοιπορειῶν τοῦ μήκους τῆς ἐγνωσμένης γῆς. ια

Διά τε δὴ ταῦτα, καὶ διὰ τὸ μὴ εἶναι τὴν ὁδὸν ὑφ' ἕνα παράλληλον· ἀλλὰ τὸν μὲν λίθινον πύργον περὶ τὸν διὰ βυζαντίου, τὴν δὲ σῆραν τοῦ δι' ἑλλησπόντου νοτιωτέραν· εὔλογον μὲν ἂν δόξειε καὶ ταῦτα τὸ πλῆθος τῶν ἐκ τῆς ἑπταμήνου σταθμοῦ συναγομένων σταδίων, τετρακισμυρίων ἑξακισχιλίων διακοσίων, μὴ εἰς ἔλαττον μειοῦν τοῦ ἡμίσεως. ἀλλ' εἰς τὸ ἥμισυ συνῃρῆσθαι μόνον, ὡς ἐν ὁλοσχερεῖ διαλήψει. ὥς τε

λογίζεσθαι, τὴν ἐκκειμένην διάστασιν, σταδίων μὲν, δισμυρίων δισχιλίων ἑξακοσίων εἰκοσιπέντε. μοιρῶν δὲ, τεσσαρακονταπέντε τετάρτου. ὃ γὰρ, ἄτοπον ἂν εἴη ὃ ἄγνωμον τοῦ λόγου καθ' ἑκατέραν τῶν ὁδῶν τὴν τοσαύτην μείωσιν ὑποβάλλοντος· ἐπὶ μὲν τῆς ἀπὸ τῶν γαραμαντῶν ἀκολουθεῖν αὐτοῦ διὰ τὸ παράδοξον εἶναι τὸν ἔλεγχον, τουτέστι τὰς τῶν κατὰ τὴν ἀγίσυμβα χώραν ζώων διαφορὰς, μὴ δυναμένους ὑπερεχθῆναι τῶν κατὰ φύσιν τόπων· ἐπὶ δὲ τῆς ἀπὸ τοῦ λιθίνου πύργου, μὴ παραλαμβάνειν τοῦ λόγου τὸ ἀκόλουθον, ὅτι μὴ ἱκανεῖ, ποιοῦντα τὸν ἔλεγχον ἐπακολουθεῖν συμβέβηκεν· ἀλλὰ καθ' ὅλην τὴν διάστασιν, ὁμοίως εἶναι τὸ πλεονέκτον, ἄν τε μεῖζον, ἄν τε ἔλαττον ᾖ. ὡς πρὸς ἂν, εἴ τις εἰ μὴ καταφορος ἴσοιτο μὴ δικαιοπραγοίη κατὰ τὸν οἰκεῖον τῇ φιλοσοφίᾳ τρόπον. καὶ τῆς πρώτης δὲ διαστάσεως λέγω τῆς ἀπὸ τοῦ εὐφράτου ἐπὶ τὸν λίθινον πύργον, τὰς ὀκτακοσίας ἑβδομηκονταὲξ σχοίνους καθαιρετέον, διὰ τὰς τῶν ὁδῶν ἐκτροπὰς, εἰς μόνας τὰς ὀκτακοσίους σχοίνους· σταδίους δὲ δισμυρίους τετρακισχιλίους. πιστευθῆναι γὰρ αὐτοῦ τὸ συνεχὲς, ὅτι καὶ κατὰ σύμμετρα μέρη, καὶ τετριμμένα ἤδη τῆς ἀναμετρήσεως ἔτυχεν. ὅτι μὲν τὸ πλείστους ἐκτροπὰς ἔχει, Δῆλον δ' ἐστὶν ἐξ ὧν καὶ ὁ Μαρῖνος ὑποτίθεται. τὴν μὲν γὰρ ἀπὸ τῆς κατὰ ἱεράπολιν τοῦ εὐφράτου διαβάσεως διὰ τῆς μεσοποταμίας ἐπὶ τὸν τίγριν ὁδὸν, καὶ τὴν ἐντεῦθεν διὰ γαραμαίων τῆς ἀσσυρίας

καὶ

καὶ μηδίας εἰς ἐκβάτανα, καὶ κασπίας πύλας καὶ τῆς παρθείας εἰς ἑκατόμπυλον, ἐνδέχεται παρὰ τὸν διὰ τῆς ῥοδίας πίπτειν παράλληλον. οὗτος γὰρ, καὶ κατ' αὐτὸν γράφεται διὰ τῶν εἰρημένων χωρῶν. τὴν δὲ εἰς ὑρκανίαν πόλιν ἀπὸ τῆς ἑκατομπύλου πρὸς ἄρκτους ἀποκλίνειν ἀναγκαῖον, τῆς ὑρκανίας πόλεως μεταξύ πως κειμένης τοῦ τε διὰ σμύρνης παραλλήλου, καὶ τοῦ ἑλλησπόντου. διὰ τὸ, τὸν μὲν διὰ σμύρνης γράφεσθαι ὑπ' αὐτὴν τὴν ὑρκανίαν χώραν. τὸν δὲ δι' ἑλλησπόντου διὰ τῶν νοτίων μερῶν τῆς ὑρκανίας θαλάσσης ἀπὸ τῆς ὁμωνύμου πόλεως, ἣ ἔστιν ὀλίγῳ βορειοτέρα. πάλιν δὲ ἡ ἀπὸ ταύτης ὁδὸς εἰς τὴν μαργιανὴν ἀντιόχειαν διὰ τῆς ἀρείας, τὰ μὲν πρῶτα, πρὸς μεσημβρίαν ἀποκλίνει, τῆς ἀρείας ὑπὸ τὸν αὐτὸν ταῖς κασπίαις πύλαις κειμένης παράλληλον. ἔπειτα πρὸς ἄρκτους τῆς ἀντιοχείας παρὰ τὸν δι' ἑλλησπόντου παράλληλον ἱδρυμένης. ἀφ' ἧς ἡ μὲν ἐπὶ τὰ βάκτρα ὁδὸς, ἐκτείνεται πρὸς ἀνατολὰς, ἡ δ' ἐντεῦθεν, ἐπὶ τὴν ἀνάβασιν τῆς τῶν κωμηδῶν ὀρεινῆς, πρὸς ἄρκτους. ἡ δὲ τῆς ὀρεινῆς αὐτῆς μέχρι τῆς ἐκδεχομένης τὰ πεδία φάραγγος, πρὸς μεσημβρίαν. τὰ μὲν γὰρ βόρεια καὶ δυσμικώτατα τῆς ὀρεινῆς, ἔνθα ἔστιν ἡ ἀνάβασις, τίθησιν ὑπὸ τὸν διὰ βυζαντίου παράλληλον. τὰ δὲ νότια καὶ πρὸς ἀνατολὰς ὑπὸ τὸν δι' ἑλλησπόντου. διότι φησὶν αὐτὴν ἀντικρὺ προσιοῦσαν ὡς πρὸς ἀνατολὰς, ἐνδιδόναι πρὸς νότον. καὶ τὴν ἐντεῦ-

θεν δὲ πεντηκονταχοίνου ἐπὶ τοῦ λιθίνου πύργου, πρὸς ἄρκτους εἰκός ἐστιν ἀποκλίνειν. ἀναβάντων γάρ φησι τὴν φάραγγα διαδέχεται ὁ λίθινος πύργος, ἀφ' οὗ εἰς τὰς ἀνατολὰς τὰ ὄρη χωροῦντα, συνάπτει τῷ ἰμάῳ, ἀνιόντι ἀπὸ παλιμβόθρων πρὸς ἄρκτους. συντιθεμένων οὖν τῶν ὑποβαλουσῶν τοῖς διςμυρίοις τετρακισχιλίοις σταδίοις μοιρῶν ξ̄. ταῖς ἀπὸ τοῦ λιθίνου πύργου μέχρι τῆς σήρας με̄ Δ', εἴη ἂν τὸ ἀπὸ τοῦ εὐφράτου μέχρι τῆς σήρας διάστημα κατὰ τὸν τῆς ῥοδίας παράλληλον μοιρῶν ρε̄ δ'. συνάγεται δὲ κατ' αὐτὸν διεξ ὧν ὑποτίθεται κατὰ μέρος σταθμῶν, ὡς ὑπὸ τὸν αὐτὸν παράλληλον. τὸ μὲν ἀπὸ τοῦ διὰ τῶν μακάρων νήσων μεσημβρινοῦ, ἕως τοῦ ἱεροῦ ἀκρωτηρίου τῆς ἱσπανίας διάστημα, μοιρῶν Δύο ἡμίσους. τὸ Δ' ἐντεῦθεν, ἐπὶ τὰς τοῦ βαίτιος ἐκβολὰς ὁμοίως. καὶ τὸ ἀπὸ βαίτιος ἐπὶ τὸν πορθμὸν καὶ τὴν κάλπην, ἑκάτερον τῶν ἴσων β̄ ἡμίσους. τῶν Δ' ἐφεξῆς τὸ μὲν ἀπὸ πορθμοῦ μέχρι καράλεως τῆς σαρδόνος μοιρῶν κε̄. τὸ δὲ ἀπὸ καράλεως εἰς λιλύβαιον τῆς σικελίας μοί Δ̄ L'. τὸ Δ' ἐντεῦθεν εἰς πάχυνον μοί τρεῖς. καὶ πάλιν, τὸ μὲν εἰς ταίναρον τῆς λακωνικῆς ἀπὸ παχύνου μοί ῑ. τὸ Δ' ἐντεῦθεν εἰς ῥόδον η̄ Δ'. τὸ δ' ἀπὸ ῥόδου πρὸς τὴν ἰσσὸν ια̅ Δ'. τὸ δὲ εἰς εὐφράτην ἀπὸ τῆς ἰσσοῦ δύο ἡμίσους. ὥστε συνάγεσθαι καὶ ταύτης μὲν τῆς διαστάσεως μοί οβ̄. τοῦ Δ' ὅλου τῆς ἐγνωσμένης γῆς μήκους ἀπὸ τοῦ διὰ

τῶν

τῶν μακάρων νήσων μεσημβρινοῦ μέχρι τοῦ σήρας τὰς ὅλας ὥρας μοίρας ροζ Δ'.

Ἡ αὐτὴ διόρθωσις ἀπὸ τῶν κατὰ πλοῦν διανύσεων. ιγ

Στοχάζοιτο δ' ἄν τις τηλικοῦτον εἶναι τὸ μῆκος, καὶ δι' ὧν ἐκτίθεται διαστημάτων κατὰ τὸν πλοῦν, τὸν ἀπὸ τῆς ἰνδικῆς, μέχρι τοῦ τῶν σινῶν κόλπου καὶ τῶν καττιγάρων, ἐὰν τὸ παρὰ τὰς κολπώσεις καὶ τὰς ἀνωμαλίας τῶν πλῶν, καὶ ἔτι τὰς θέσεις ὑπολογίζηται κατὰ συνεγγισμὸν τῶν ὑποβολῶν. ἀπὸ γὰρ τοῦ μετὰ τὸν γαγγητικὸν κόλπον ἀκρωτηρίου ὃ καλεῖται κῶρυ, τὸν ἀργαρικὸν κόλπον φησὶ διαδέχεσθαι. σταδίων ὄντα μέχρι κούρουλα πόλεως τρισχιλίων τεσσαράκοντα, καὶ κεῖσθαι τοῦ κῶρυ τὴν κούρουλαν πόλιν ὡς ἀπὸ βορέου. συνάγοιτ' ἂν οὖν ἡ διαπεραίωσις ὑφαιρουμένου τοῦ τρίτου κατὰ τὸ ἀκόλουθον τῷ γαγγητικῷ κόλπῳ, δισχιλίων τριάκοντα ἔγγιστα σταδίων, διὰ τὰς ἀνωμαλίας τῶν δρόμων. ἐξ ὧν εἰς τὴν συνέχειαν ὑπολογισθέντος ἔτι τοῦ τρίτου, καταλειφθήσονται στάδιοι χίλιοι τριακόσιοι πεντήκοντα ἔγγιστα κατὰ τὴν πρὸς βορρᾶν θέσιν. ἧς μεταφερομένης ὑπὸ τὴν διὰ ἰσημερινῷ παράλληλον, καὶ ὡς πρὸς ἀπηλιώτην μειώσει τοῦ ἡμίσεως ἀκολούθως τῇ περιλαμβανομένῃ γωνίᾳ, ἕξομεν τὴν μεταξὺ τῶν δύο μεσημβρινῶν διάστασιν. τήν τε διὰ τοῦ κῶρυ ἀκρωτηρίου, καὶ τοῦ διὰ τῆς

κούρουλα πόλεως, σταδίων μὲν ἑξακοσίων οε̄. μοίρας δὲ μιᾶς ἔγγιστα καὶ τρίτου. διὰ τὸ τοὺς κατὰ τούτων τῶν τόπων παραλλήλους μηδενὶ ἀξιολόγῳ διαφέρειν τοῦ μεγίστου κύκλου. πάλιν ἀπὸ κούρουλα πόλεως ὁ πλοῦς φησίν ἐστι πρὸς χειμερινὰς ἀνατολὰς ἕως παλούρων σταδίων ἐνακισχιλίων τετρακοσίων πεντήκοντα. ὧν καὶ αὐτῶν τὸ τρίτον ὁμοίως ἀφελόντες ὑπὲρ τῆς ἀνωμαλίας τῶν δρόμων, ἕξομεν τὴν ἐκ τῆς συνεχείας γινομένην διάστασιν τὴν ὡς πρὸς εὖρον, σταδίων ἑξακισχιλίων τριακοσίων ἔγγιστα. καὶ τούτων δὲ τὸ ἕκτον ἀφελόντες, ὑπὲρ τοῦ τὴν παράλληλον τῷ ἰσημερινῷ περιίστασθαι διάστασιν, εὑρήσομεν καὶ τὴν τούτων τῶν μεσημβρινῶν ἀποχὴν, σταδίων ͵εσν̄. μοιρῶν δὲ δέκα ἥμισυ. ἐντεῦθεν δὲ τὸν μὲν κόλπον τὸν γαγγητικὸν ἐκτίθεται σταδίων μυρίων ἐνακισχιλίων. τὸν δὲ διάπλουν αὐτοῦ τὸν ἀπὸ παλούρων ἐπὶ σάδας πόλιν σταδίων μυρίων τρισχιλίων ὡς πρὸς ἰσημερινὴν ἀνατολήν. διὸ μόνον τὸ τρίτον τούτων ὑπολογιστέον ὑπὲρ τῆς ἀνωμαλίας τοῦ πλοῦ. ὡς καταλείπεσθαι καὶ τὴν τούτων τῶν μεσημβρινῶν διάστασιν, σταδίων ͵ηχο̄. μοιρῶν δὲ ιζ ϛ'. ἐφεξῆς δὲ τὸν ἀπὸ σάδας πλοῦν ἕως ταμάλας πόλεως, ποιεῖται σταδίων ͵γφ̄ ὡς πρὸς χειμερινὰς ἀνατολάς. ὑπὲρ μὲν οὖν τῆς ἀνωμαλίας πάλιν τὸ τρίτον αὐτῶν ἀφελόντες, ἕξομεν τοῦ συνεχοῦς δρόμου, σταδίους ͵β. τ̄ λ̄. διὰ δὲ τὴν πρὸς εὖρον νεῦσιν τὸ ἕκτον ἔτι τούτων προ

συπολο

συναπολογισάντων, εὑρήσομεν καὶ τὴν τῶν ἐκκειμένων μεσημβρινῶν διάστασιν, σταδίων μὲν, χιλίων ἐνακοσίων τεσσαράκοντα. μοιρῶν δὲ ἔγγιστα τριῶν ἡμίσους τρίτου. μετὰ δὲ ταῦτα ἀπὸ Ταμάλας ἐπὶ τὴν Χρυσῆν Χερσόνησον διάπραμα, σταδίων ἐκτίθεται χιλίων ἑξακοσίων ὡς πρὸς χειμερινὰς πάλιν ἀνατολάς. ὥστε καὶ ἐνταῦθα τῶν ὁμοίων μερῶν ὑφαιρεθέντων καταλείπεσθαι τὴν τῶν μεσημβρινῶν διάστασιν, σταδίων μὲν ἐνακοσίων, μοίρας δὲ μιᾶς καὶ τεσσάρων πέμπτων. συνάγεσθαί τε τὴν ἀπὸ τοῦ Κώρυ ἀκρωτηρίου μέχρι τῆς Χρυσῆς Χερσονήσου διάστασιν μοιρῶν λΔ, καὶ τεσσάρων πέμπτων.

Περὶ τοῦ ἀπὸ τῆς Χρυσῆς Χερσονήσου, ἐπὶ τὰ Κάττιγαρα διάπλου. ιΔ

Τοῦ δ' ἀπὸ τῆς Χρυσῆς Χερσονήσου ἐπὶ τὰ Κάττιγαρα διάπλου τὸν σταδιασμὸν, ὁ Μαρῖνος οὐκ ἐκτίθεται. φησὶ δὲ, Ἀλέξανδρον ἀναγεγράφθαι τὴν γῆν ἐντεῦθεν ἐναντίαν εἶναι τῇ μεσημβρίᾳ καὶ τοὺς πλέοντας παρ' αὐτὴν ἐν ἡμέραις εἴκοσι καταλαμβάνειν πόλιν Ζάβας. ἀπὸ δὲ τῶν Ζαβῶν πρὸς νότον διαπλεύσαντας, καὶ μᾶλλον εἰς τὰ εὐώνυμα ἡμέρας τινὰς, ἐκδέχεσθαι τὰ Κάττιγαρα. μηκύνει μὲν οὖν αὐτὸς τὴν ἐκκειμένην διάστασιν, ἀκούων τινὰς, ἀντὶ τοῦ πολλάς. διὰ τὸ πλῆθος γάρ φησι μὴ συλληφθῆναι αὐτὰς ἀριθμῷ. γελοίως οἶμαι τοῦτό γε. τίς γὰρ

ἀριθμὸς

ἀριθμὸς ἡμερῶν ἀρκετὸς ἔσται, κἂν ὅλης τῆς γῆς τὸ περασμένης περίοδον ἔχῃ; τί δ' ἐκώλυε τὸν ἀλέξανδρον ἀντὶ τοῦ τινὰς, εἰπεῖν πολλὰς, ὡς τὸν Διόσκορον ἔφη πολλῶν ἡμερῶν ἰσορρεῖν τὸν ἀπὸ τῶν ῥαπτῶν ἐπὶ τὸ πράσον πλοῦν. εὐλογώτερον δ' ἄν τις ἐκδέχοιτο τὰς τινὰς ὡς ὀλίγας. καὶ γὰρ ἐν τούτῳ εἰώθαμεν κατηγορεῖν τὸν τρόπον. ἀλλ' ἵνα μὴ δόξωμεν ἐπ' αὐτοῖς πρὸς κείμενόν τι πλῆθος ἐφαρμόζειν τὰς τῶν ἀρχῶν εἰκασίας, παραλάβωμεν τὸν ἀπὸ τῆς χρυσῆς χερσονήσου μέχρι καττιγάρων πλοῦν, συγκείμενον ἔκ τε εἴκοσιν ἡμερῶν, τῶν ἐπὶ ζάβας, καὶ ἐξ ἄλλων τινῶν, τῶν ἐπὶ τὰ καττίγαρα. ὥσπερ τὸν ἀπὸ τῶν ἀρωμάτων ἐπὶ τὸ πράσον ἄκρον, συγκείμενον καὶ αὐτὸν ἔκ τε τῶν ἴσων ἡμερῶν εἴκοσι τῶν ἐπὶ τὰ ῥαπτὰ κατὰ Θεόφιλον καὶ ἐξ ἄλλων πολλῶν τῶν ἐπὶ τὸ πράσον κατὰ διόσκορον. ἵνα καὶ κατὰ τὸν Μαρῖνον ἐν ἴσῳ θῶμεν τὰς τινὰς ἡμέρας ταῖς πολλαῖς εἰκάσαντα. ἐπεὶ τοίνυν ἀπεδείξαμεν, ἔκ τε τῶν εὐλόγων, καὶ ἐξ αὐτῶν τῶν φαινομένων, τὸ πράσον ὑπὸ τὸν παράλληλον τὸν ἀπέχοντα πρὸς μεσημβρίαν τοῦ ἰσημερινοῦ μοί. ιϛ γ' ιβ'. διέστηκε δὲ καὶ ὁ τοῦ ἰσημερινοῦ καὶ ὁ διὰ τῶν ἀρωμάτων παράλληλος πρὸς τὰς ἄρκτους μοί. δ δ'. ὥστε συνάγεσθαι τὴν ἀπὸ τῶν ἀρωμάτων ἐπὶ τὸ πράσον διάστασιν μοιρῶν κ, καὶ διμοίρου· τῶν ἴσων ἂν εἰκότως θείημεν, καὶ τὴν ἀπὸ τῆς χρυσῆς ἐπὶ ζάβας. κἀκεῖθεν ἐπὶ τὰ καττίγαρα. τὴν μὲν οὖν ἀπὸ τῆς

χρυσῆς

χρυσῆς χερσονήσου ἐπὶ ζάβας, οὐχ ὅτι δεῖ μειοῦν, παράλληλον οὖσαν τῷ ἰσημερινῷ, διὰ τὸ τὴν μεταξὺ χώραν ἐναντίαν ἐκτετάσθαι τῇ μεσημβρίᾳ. τὴν δ' ἀπὸ ζαβῶν ἐπὶ τὰ καττίγαρα, προσήκει συνελεῖν, διὰ τὸ τὸν πλοῦν εἶναι πρὸς νότον καὶ πρὸς ἀνατολάς, ἵνα τὴν παράλληλον τῷ ἰσημερινῷ λάβωμεν θέσιν. εἰ δὴ τὸ ἥμισυ τῶν μοιρῶν προσνείμαιμεν ἑκατέρᾳ τῶν διαστάσεων διὰ τὸ ἄδηλον αὐτῶν τῆς ὑποδοχῆς, καὶ τῶν ἀπὸ ζαβῶν ἐπὶ τὰ καττίγαρα μοιρῶν ι γ΄. τὸ τρίτον πάλιν ὑπολογισαίμεθα ὑπὲρ τῆς ἐγκλίσεως, ἕξομεν καὶ τὴν ἀπὸ τῆς χρυσῆς χερσονήσου ἐπὶ τὰ καττίγαρα διάστασιν. ὡς ἐπὶ παραλλήλου τῷ ἰσημερινῷ θέσεως μοιρῶν ιζ΄ ἕκτον ἔγγιστα. ἐδέδεικτο δὲ καὶ ἡ ἀπὸ τοῦ κώρυ ἀκρωτηρίου μέχρι τῆς χρυσῆς χερσονήσου μοιρῶν λδ΄. καὶ τεσσάρων πέμπτων. πᾶσα ἄρα ἡ ἀπὸ τοῦ κώρυ μέχρι καττιγάρων μοιρῶν ἐστιν ἔγγιστα νβ΄. ἀλλ' ὁ μὲν διὰ τῆς ἀρχῆς τοῦ ἰνδοῦ ποταμοῦ μεσημβρινὸς ὀλίγῳ δυτικώτερός ἐστι τοῦ βορείου τῆς ταπροβάνης ἀκρωτηρίου κατὰ τὸν Μαρῖνον, ὃ πρὸς ἀντίκειται τῷ κώρυ. ταῦτα δ' ἀφέστηκεν ὁ διὰ τῶν ἐκβολῶν τοῦ βαίτιος ποταμοῦ ὡριαῖα διαστήματα η΄. μοιρῶν δὲ ρκ΄. ἔτι ὁ διὰ τῶν ἐκβολῶν τοῦ βαίτιος τοῦ διὰ τῶν μακάρων νήσων, μοιρῶν ε΄. ὥστε καὶ ὁ μὲν διὰ τοῦ κώρυ μεσημβρινὸς ἀπέχει τοῦ διὰ τῶν μακάρων νήσων μικρῷ πλέον ρκε΄ μοιρῶν. ὁ δὲ διὰ καττιγάρων τοῦ διὰ τῶν μακάρων νήσων μικρῷ πλέον τῶν

ἐπὶ τὸ αὐτὸ ροζ μοιρῶν, κατὰ τὴν αὐτὴν σχεδὸν διάστασιν τοῖς ἐπὶ τοῦ διὰ τῆς ῥοδίας παραλλήλου συλλελογισμένοις. ἀλλ' ὑποκείσθω τὸ μέχρι τῆς μητροπόλεως τῶν σινῶν μῆκος ὅλων ρπ μοιρῶν. ὡριαίων δὲ διαστημάτων δώδεκα. διὰ τὸ πάντας ὁμολογεῖν, ἀνατολικωτέραν αὐτὴν εἶναι τῶν καττιγάρων, ὥστε συνάγεσθαι καὶ τοῦ διὰ τῆς ῥοδίας μήκους, σταδίους ἑπτακισμυρίους καὶ δισχιλίους ἔγγιστα.

Περὶ τῶν ἐν τῇ κατὰ μέρος ἐκθέσει τοῦ Μαρίνου διαπεφωνημένων. ιε

Εἰς μὲν δὴ τὰς καθόλου διαστάσεις, ἐπὶ τοσοῦτον διεστείλαμεν τοῦ τε μήκους τοῦ πρὸς ἀνατολὰς, καὶ τοῦ πλάτους τοῦ πρὸς μεσημβρίαν, διὰ τὰς ἐκτεθειμένας αἰτίας. καὶ τὰς κατὰ μέρος δὲ τῶν πόλεων διαθέσεις, πολλαχῇ διορθώσεως ἠξιώσαμεν. ἐφ' ὧν μαχομένας ἢ μὴ ἀκολούθους ἐκθέσεις πεποίηται κατὰ διαφόρους ὑπομνήσεις, διὰ τὸ πολύχουν καὶ ποικίλον τῶν συντάξεων. οἷον ὅτι τὸ ἀντικεῖσθαι ταῤῥάκωνα τῇ καισαρείᾳ τῇ καλουμένῃ ἰὼλ, τὸ διὰ ταύτης μεσημβρινὸν γράφων, καὶ διὰ τῶν πυῤῥηναίων ὀρῶν, ἅ τινα ταῤῥακῶνος οὐκ ὀλίγῳ ἐστὶν ἀνατολικώτερα. καὶ πάχυνον μὲν, λέπτῃ τῇ μεγάλῃ. θεαίναις δὲ, ἱμέραν. τῆς μὲν ἀπὸ παχύνου διαστάσεως ἐπὶ τὴν ἱμέραν τετρακοσίων που σταδίων συναγομένης. τῆς δ' ἀπὸ λέπτεως ἐπὶ θεαίνας, ὑπὲρ τοὺς χιλίους πεντακοσίους,

ἧς ὧν ὁ Τιμοσθένης ἀναγράφει. καὶ πάλιν, τὸ ἄργεστον μὲν φησὶν ἀντικεῖσθαι ῥαβέννῃ. τοῦ δὲ μυχοῦ τοῦ ἀδρίου, τοῦ κατὰ τὸν τιλαουέμπτου ποταμοῦ, τὸ μὲν ἄργεστον, ἀπέχειν πρὸς θερινὰς ἀνατολὰς σταδίους τετρακοσίους, ὀγδοήκοντα. τὴν δὲ ῥαβένναν πρὸς χειμερινὰς ἀνατολὰς, σταδίους χιλίους. ὁμοίως ἀντικεῖσθαι φησὶ χελιδονέας μὲν, κανώβῳ. ἀκάμαντα δὲ, πάφῳ. καὶ πάφον, σεβεννυτῷ. τῶν μὲν, ἀπὸ χελιδονέων εἰς ἀκάμαντα σταδίων χιλίων ὑπ' αὐτοῦ τιθεμένων. τῶν δ' ἀπὸ κανώβου εἰς σεβέννυτον ὑπὸ Τιμοσθένους, διακοσίων ἐννενήκοντα. καί τοι ταύτης τῆς διαστάσεως, εἴπερ ὑπὸ τοὺς αὐτοὺς ἔκειτο μεσημβρινοὺς, τῷ ὄντι μείζονος ὀφειλούσης εἶναι, διὰ τὸ καὶ μείζονος ὑποπίπτειν παραλλήλου περιφερείᾳ. πάλιν τὴν πίσαν ἀπέχειν ῥαβέννης πρὸς λιβόνοτον, σταδίους ἑπτακοσίους. διὰ δὲ τῶν κλιμάτων καὶ τῶν ὡριαίων διαιρέσεως, πίσαν μὲν ἐν τῷ τρίτῳ τίθησιν ὡριαίῳ. ῥάβενναν δὲ, ἐν τῷ τετάρτῳ. καὶ λουνδίνιον τῆς βρεττανίας νοιόμαγον εἰπὼν νοτιωτέραν μιλίοις ν̅θ, βορειοτέραν αὐτὴν διὰ τῶν κλιμάτων ἀποφαίνει. καὶ τὸν ἄθω δὲ τάξας ἐπὶ τοῦ δι' ἑλλησπόντου παραλλήλου, τὴν ἀμφίπολιν καὶ τὰς περὶ αὐτὴν ὑποβεβηκυίας τὸν ἄθω καὶ τὰς τοῦ στρυμόνος ἐκβολὰς κειμένας ἐν τῷ τετάρτῳ καὶ ὑπὸ τῷ τὸν ἑλλήσποντον κλίματι τίθησιν. ὁμοίως δὲ καὶ τῆς θράκης σχεδὸν ὅλης ὑπὸ τὸν διὰ βυζαντίου παράλληλον κειμένης, τὰς μεσογειοτέρας αὐτῆς πόλεις

ἁπάσας ἐν τῷ ὑπὸ [illegible] τὴν παράλληλον κλίματι κατέταξεν. ἔτι Τραπεζοῦντα φησὶν ἱδρύσθαι μὲν ὑπὸ τὸν διὰ Βυζαντίου παραλλήλου. καὶ τὰ Σάταλα τῆς Ἀρμενίας δείξας ἀπέχοντα Τραπεζοῦντος πρὸς μεσημβρίαν μίλια ἑξήκοντα κατὰ τὴν τῶν παραλλήλων γραφὴν τὸν διὰ Βυζαντίου φέρει διὰ Σατάλων καὶ οὐ Τραπεζοῦντος. καὶ μὴν τὸν Νεῖλον ποταμόν φησιν ἀκολούθως τῇ ἀληθείᾳ γράφεσθαι, ἐξ οὗ τὸ πρῶτον ὁρᾶται παραγινόμενος ἀπὸ μεσημβρίας πρὸς ἄρκτους, μέχρι Μερόης. ὁμοίως δὲ καὶ τὸν ἀπὸ τῶν Ἀρωμάτων ἐπὶ τὰς λίμνας ἐξ ὧν ὁ Νεῖλος ῥεῖ, πλοῦν ἀπαρκτίαν συντελεῖσθαι, τῶν Ἀρωμάτων ἀνατολικωτέρων ὄντων τοῦ Νείλου παμπόλλῳ. Πτολεμαῒς γοῦν ἡ τῶν θηρῶν ἀνατολικωτέρα ἐστὶ Μερόης καὶ τοῦ Νείλου δέκα ἡμερῶν ὁδόν, ἢ δώδεκα. Πτολεμαΐδος δὲ καὶ τοῦ Ἀδουλικοῦ κόλπου τὰ στενὰ τὰ κατὰ Ὄκηλιν τὴν χερσόνησον καὶ Δειρὴν, σταδίοις τρισχιλίοις πεντακοσίοις. τούτων δ' ἔτι ἀνατολικώτερον τὸ ἀκρωτήριον τῶν μεγάλων Ἀρωμάτων, σταδίοις πεντακισχιλίοις.

Ὅτι παρῆλθέ τινα αὐτὸν, καὶ κατὰ τοὺς τῶν ἐπαρχιῶν περιορισμούς. ιϛ

Παρῆλθε δέ τινα αὐτὸν καὶ κατὰ τοὺς περιορισμούς. ὡς ὅταν τὴν μὲν Μυσίαν πᾶσαν ἀπ' ἀνατολῶν ὁρίζει τῇ Ποντικῇ θαλάσσῃ. τὴν δὲ Θρᾴκην ἀπὸ δυσμῶν Μυσίᾳ τῇ ἄνω. καὶ τὴν μὲν Ἰταλίαν μὴ ἀπ' ἄρ-

κτων

κτῇ ῥαιτίᾳ καὶ νωρικῷ μόνον, ἀλλὰ καὶ παννονίᾳ. τὴν δὲ παννονίαν ἀπὸ μεσημβρίας Δαλματίᾳ μόνῃ, καὶ μηκέτι τῇ ἰταλίᾳ. καὶ τοὺς μὲν μεσογαίους σογδιανοὺς καὶ τοὺς σάκας, γειτνιάζειν ἀπὸ μεσημβρίας τῇ ἰνδικῇ. τοὺς δὲ βορειοτέρους τοῦ ἰμάου ὄρους ὅ ἐστιν ἀρκτικώτατον τῆς ἰνδικῆς, Δύο παραλλήλους, τόν τε δι' ἑλλησπόντου καὶ τὸν διὰ βυζαντίου μὴ γράφει, διὰ τῶν εἰρημένων ἐθνῶν, ἀλλὰ πρώτως τὸν διὰ μέσου πόντου.

Περὶ τῶν διαπεφωνημένων αὐτῷ, πρὸς τὰ ὑπὸ τῶν καθ' ἡμᾶς ἱστορηθέντα. ιζ

ΤΟύτοις μὲν οὖν καὶ τοῖς τοιούτοις οὐκ ἐπέσχεν ὁ Μαρῖνος, ἤτοι διὰ τὸ πολύχουν καὶ κεχωρισμένον τῶν συντάξεων, ἢ διὰ τὸ μὴ φθάσαι κατὰ τὴν τελευταίαν ἔκδοσιν ὡς αὐτός φησι πίνακα καταγράψαι. δι' ὃ καὶ τὴν τῶν κλιμάτων, καὶ τῶν ὡριαίων μόνον ἐποιήσατο διόρθωσιν. ἔνια Δ' ἤδη καὶ τοῖς νῦν ἱστορουμένοις, οὐκ ἔχει συμφώνως. ὡς ὁ σαχαλίτης κόλπος ἀπὸ Δυσμῶν ὑπ' αὐτοῦ τιθέμενος, τοῦ συάγρου ἀκρωτηρίου. πάντες γὰρ ἡμῖν ἁπαξαπλῶς ὁμολογοῦσιν οἱ τοὺς τόπους τούτους διαπλέοντες, ἀπ' ἀνατολῶν τοῦ συάγρου καὶ τὴν σαχαλίτην εἶναι χώραν τῆς ἀραβίας καὶ τὸν ὁμώνυμον αὐτῆς κόλπον. καὶ πάλιν τὰ σίμυλλα τὸ τῆς ἰνδικῆς ἐμπόριον, μὴ μόνον τοῦ κομαρίας ἀκρωτηρίου δυτικώτερον ὑπ' αὐτοῦ τιθέμενον,

ἀλλὰ καὶ τοῦ ἰνδοῦ ποταμοῦ. μόνον γὰρ μεσημβρινώτερον ὁμολογεῖται τῶν στομάτων τοῦ ποταμοῦ, παρά τε τῶν ἐντεῦθεν εἰσπλευσάντων, καὶ χρόνον πλεῖστον ἐπελθόντων τοὺς τόπους, καὶ παρὰ τῶν ἐκεῖθεν ἀφικομένων πρὸς ἡμᾶς, καλούμενον ὑπὸ τῶν ἐγχωρίων τίμουλα. παρ' ὧν καὶ τά τε ἄλλα περὶ τὴν ἰνδικὴν μερικώτερον, καὶ κατὰ τὰς ἐπαρχίας ἐμάθομεν, καὶ ταύτης τῆς χώρας ἐνδοτέρω, μέχρι τῆς χρυσῆς χερσονήσου, καὶ ἐντεῦθεν ἕως τῶν καττιγάρων. τὸ μὲν ὅτι πρὸς ἀνατολὰς ἐστὶν ὁ πλοῦς εἰσπλεόντων, καὶ πάλιν ἐξιόντων πρὸς δυσμὰς συνισορούντων. τὸ δ' ἄτακτον καὶ ἀνώμαλον τοῦ χρόνου τῶν διανύσεων προσομολογούντων. καὶ ὅτι ὑπόκειται τῶν σινῶν, ἥ τε τῶν σηρῶν χώρα καὶ ἡ μητρόπολις, καὶ τὰ ἀνατολικώτερα τούτων, ἄγνωστός ἐστι γῆ. λίμνας ἔχουσα ἑλώδεις, ἐν αἷς κάλαμοι μεγάλοι φύονται, καὶ συνεχεῖς οὕτως, ὥς τε ἐχομένους αὐτῶν, ποιεῖσθαι τὰς διαπεραιώσεις. καὶ ὅτι οὐ μόνον ἐπὶ τὴν βακτριανὴν ἐντεῦθεν ἐστὶν ὁδὸς διὰ τοῦ λιθίνου πύργου, ἀλλὰ καὶ ἐπὶ τὴν ἰνδικὴν διὰ παλιμβόθρων. ἡ δὲ ἀπὸ τῆς μητροπόλεως τῶν σινῶν ἐπὶ τὸν ὅρμον τὰ καττίγαρα, πρὸς δυσμάς ἐστι καὶ μεσημβρίαν. ὡς διὰ τοῦτο μὴ πίπτειν αὐτὴν, κατὰ τὸν διὰ τῆς σήρας καὶ τῶν καττιγάρων μεσημβρινόν, ἐξ ὧν φησιν ὁ Μαρῖνος, ἀλλὰ κατά τινα τῶν ἀνατολικωτέρων. καὶ μὴν καὶ παρὰ τῶν ἀπὸ τῆς ἀραβίας τῆς εὐδαίμονος διαπεραιουμένων ἐμπόρων

ὑπὲρ τὰ ἀρώματα, καὶ τὴν ἀζανίαν, καὶ τὰ ῥάπτα, ταῦτα δὲ πάντα βαρβαρίαν ἰδίως καλούντων, μανθάνομεν τόν τε πλοῦν μὴ ἀκριβῶς εἶναι πρὸς μεσημβρίαν. ἀλλὰ ἐπὶ τοῦτον μὲν πρὸς Δυσμὰς καὶ μεσημβρίαν. τὴν Δ' ἀπὸ τῶν ῥάπτων, ὑπὲρ τὸ πράσον διαπεραιοῦσιν, πρὸς ἀνατολὰς καὶ μεσημβρίαν. καὶ τὰς λίμνας δὲ ἀφ' ὧν ὁ νεῖλος ῥεῖ, μὴ παρ' αὐτὴν εἶναι τὴν θάλασσαν, ἀλλ' ἐνδοτέρω συχνῷ. καὶ τὴν τάξιν τὴν ὑπὲρ τὸ ῥάπτον ἀκρωτήριον ἀπὸ τοῦ τῶν ἀρωμάτων αἰγιαλοῦ καὶ ἀποκόπων, ἱστοροῦσιν εἶναι κατὰ τὸν Μαρῖνον, καὶ μὴ πολλῶν συνάγεσθαι σταδίων ἐκεῖ τὸν δι' ἡμέρας καὶ νυκτὸς πλοῦν, διὰ τὸ ταχὺ μεταβολὸν τῶν ὑπὸ τὸν ἰσημερινὸν πνευμάτων. ἀλλ' ὡς ἐπίπαν τετρακοσίων ἢ πεντακοσίων σταδίων. εἶναι δὲ συνεχῆ μὲν τοῖς ἀρώμασι πρῶτον κόλπον ἐν ᾧ μετὰ μιᾶς ἡμέρας ὁδὸν ἀπὸ τῶν ἀρωμάτων, πανώνην κώμην, καὶ ὀπώνην ἐμπόριον, ἀπέχουσαν τῆς κώμης ὁδὸν ἡμερῶν ἕξ. μετὰ δὲ τοῦτο τὸ ἐμπόριον, συνάπτειν ἄλλον κόλπον ἀρχὴν τῆς ἀζανίας. οὗ κατὰ τὴν ἀρχὴν, ἐκκεῖσθαι ζίγγιν, ἄκρον. καὶ φαλαγγίδα ὄρος, τρικέφαλον. καλεῖσθαι δὲ τοῦτον μόνον τὸν κόλπον, ἀπόκοπα. καὶ διάπλουν ἔχειν Δύο νυχθημέρων. παρήκειν Δ' ἀπ' αὐτοῦ τὸν μικρὸν αἰγιαλὸν ἐν διάπλῳ τριῶν διαστημάτων. εἶτα τὸν μέγαν αἰγιαλὸν ἐν διάπλῳ πέντε διαστημάτων. ἀμφοτέρους δὲ ὑπὸ τὸ αὐτό, τεσσάρων ἔχειν διάπλουν νυχθημέρων. συνῆφθαι δὲ τούτοις ἄλλον

κόλπον

κόλπου, ἐν ᾧ ἐμπόριον τὸ καλούμενον Ἴασινα, μετὰ δύο νυχθημέρων πλοῦν. εἶτα Σαραπίωνος ὅρμον μετὰ μιᾶς ἡμέρας πλοῦν. ἐντεῦθεν ἄρχεσθαι τὸν ἐπὶ τὰ Ῥάπτα φέροντα κόλπον τριῶν νυχθημέρων ἔχοντα διάπλουν. οὗ κατὰ μὲν τὰς ἀρχὰς ἐμπόριον εἶναι τὸ καλούμενον Νίκι. παρὰ δὲ τὸ Ῥάπτον ἄκρον, ποταμὸν Ῥάπτον, καὶ μητρόπολιν ὁμώνυμον αὐτῷ, μικρὸν ἀπέχουσαν τῆς θαλάσσης. τὸν δ' ἀπὸ τῶν Ῥάπτων μέχρι τοῦ Πράσου ἀκρωτηρίου κόλπον μέγιστον ὄντα καὶ μὴ βαθὺν, περιοικεῖν, καὶ βαρβάρους ἀνθρωποφάγους.

Περὶ τῆς ἀπὸ τῶν τοῦ Μαρίνου συντάξεων κατὰ τὴν καταγραφὴν τῆς οἰκουμένης δυσχρησίας. ιη

Τὰ μὲν οὖν κατ' αὐτὴν τὴν ἱστορίαν ὀφείλοντα τυχεῖν τινὸς ἐπιστάσεως, ὑποτετυπώσθω μέχρι τοσούτων. ἀλλ' ἵνα μὴ δόξωμεν τισὶν ἐνστάσιν προσχρίσασθαι καὶ μὴ διόρθωσιν, ἔσται ἡμῖν ἕκαστα δι' αὐτῆς τῆς κατὰ μέρος ὑφηγήσεως δῆλα. λοιπὸν δ' ἂν εἴη τὰ κατὰ τὴν ἔφοδον τῆς καταγραφῆς ἐπισκέψασθαι, διπλῆς δὴ τῆς τοιαύτης οὔσης ἐπιβολῆς. καὶ πρώτης μὲν, τῆς ἐν μέρει σφαιρικῆς ἐπιφανείας ποιουμένης τὴν τῆς οἰκουμένης διάθεσιν, δευτέρας δὲ, τῆς ἐν ἐπιπέδῳ, κοινὸν μὲν ἐπ' ἀμφοτέρων ἐστὶ προκείμενον τὸ εὔχρηστον, τουτέστι τὸ δεῖξαι πῶς ἂν καὶ μὴ προϋποκειμένης εἰκόνος ἀπὸ μόνης τῆς διὰ τῶν ὑπομνημάτων

παρα

παραθέσεως, ἐνεχείρισον ὡς ἔνι μάλιστα ποιώμεθα τὴν καταγραφήν. τό, τε γὰρ ἀεὶ μεταφέρειν ἀπὸ τῶν προτέρων παραδειγμάτων ἐπὶ τὰ ὕστερα διὰ τῆς κατὰ μικρὸν παραλλαγῆς εἰς ἀξιόλογον εἴωθεν ἐξάγειν ἀνομοιότητα τὰς μεταβολάς. κἂν μὴ τὴν μέθοδον ταύτην τὴν ἐκ τῆς ὑπομνήσεως αὐτάρκη πρὸς ἔνδειξιν τῆς ἐκθέσεως εἶναι συμβαίνῃ, τοῖς οὐκ εὐποροῦσι τῆς εἰκόνος, ἀμήχανον ἔσται τοῦ προκειμένου δεόντως τυχεῖν. ὃ συμβαίνει καὶ νῦν τοῖς πλείστοις, ἐπὶ τοῦ κατὰ τὸν Μαρῖνον πίνακος. οὐκ ἐπιτυχοῦσι μὲν ἀπὸ τῆς ὑστάτης συντάξεως παραδείγματος. ἀποσχεδιάζουσι δὲ ἐκ τῶν ὑπομνημάτων καὶ διαμαρτάνουσιν ἐν τοῖς πλείστοις τῆς ὁμολογουμένης συναγωγῆς, διὰ τὸ δύσχρηστον καὶ διεσπασμένον τῆς ὑφηγήσεως. ὡς ἔξεστι παντὶ τῷ πειρωμένῳ σκοπεῖν. ἐφ' ἑκάστου γὰρ τῶν σημαινομένων τόπων ἀναγκαίου τυγχάνοντος ἔχειν καὶ τὴν κατὰ μῆκος καὶ τὴν κατὰ πλάτος θέσιν, τῷ μέλλοντι κατατάξειν αὐτὸν ὅπου δεῖ, τοῦτο μὲν οὐκ ἔστιν αὐτὸν εὐθὺς εὑρεῖν ἐν ταῖς συντάξεσιν. κεχωρισμένως δὲ ἐνταῦθα μὲν εἰ τύχοι τὰ πλάτη μόνον ὡς ἐπὶ τῆς παραλλήλων ἐκθέσεως ἀλλαχόθι δὲ τὰ μήκη μόνον καθάπερ ἐπὶ τῆς τῶν μεσημβρινῶν ἀναγραφῆς. καὶ οὐδὲ τῶν αὐτῶν ἑκατέρῳ γένει κατὰ τὸ πλεῖστον· ἀλλὰ δι' ἄλλων μὲν τοὺς παραλλήλους γραφομένους· δι' ἄλλων δὲ τοὺς μεσημβρινούς, ὥς τε ἐνδεῖν τοῖς τοιούτοις τῆς ἱστορίας τῶν θέσεων. ὅλως τε

καθ' ἓν ἕκαστον τῶν κατατασσομένων πάντων σχεδὸν δεῖ πρὸς τὴν ἐπίσκεψιν τῶν ὑπομνημάτων. ἐπειδήπερ ἐν ἅπασι λέγεταί τι ἄλλο περὶ τῶν αὐτῶν, κἂν μὴ καθ' ἓν ἐπιζητῶμεν τὰ καθ' ἕκαστον εἴδους ἐκτεθειμένα περὶ αὐτοῦ, λήσομεν αὐτοὺς διαμαρτάνοντες ἐν πολλοῖς τῶν ὀφειλόντων παρατηρήσεως τυχεῖν. ἔτι δὲ ἐπὶ τῆς τῶν πόλεων κατατάξεως, τὰς μὲν παραλίους, προχειρότερον ἄν τις ὑπογράφοι, τάξεως τινὸς ὡς ἐπίπαν τηρηθείσης ἐπ' αὐτῶν. τὰς δὲ μεσογείους, οὐκέτι, μηδαμῆ σημαινομένης τῆς πρὸς ἀλλήλας ἑαυτῶν, ἢ πρὸς ἐκείνας σχέσεως. πλὴν ὀλίγων ἐφ' ὧν ἔτυχέ πως, τῇ μὲν τὸ μῆκος, τῇ δὲ τὸ πλάτος προδιωρισμένον.

Περὶ τοῦ τῆς καθ' ἡμᾶς ὑφηγήσεως προχείρου πρὸς τὴν καταγραφήν. ιθ

Ὅθεν διπλοῦν ἡμεῖς ἀναδεξάμενοι πόνον· τὸν μὲν, ἵνα τὴν γνώμην τοῦ ἀνδρὸς τὴν δι' ὅλης τῆς συντάξεως τηρήσωμεν χωρὶς τῆς τυχούσης τινὸς διορθώσεως· τὸν δ' ἵνα τὰ παρ' αὐτοῦ δῆλα γινόμενα διά τε τῆς ἀπὸ τῶν ἐντυγχανόντων ἱστορίας, ἢ τῆς ἐν τοῖς ἀκριβεστέροις πίναξι τάξεως, ἐφ' ὅσον ἔντερον ἦν δεόντως ἐγγραφῇ· προσεμελήθημεν καὶ τοῦ κατὰ τὴν μέθοδον προχείρου, συντάξαντες ἐπὶ πασῶν τῶν ἐπαρχιῶν, τάς τε περιγραφὰς αὐτῶν τὰς κατὰ μέρος ὁ-

πρίας

ποίας ἔχουσι θέσεις, κατά τε μῆκος καὶ κατὰ πλάτος, καὶ τῶν ἐν αὐταῖς ἀξιολογωτέρων ἐθνῶν τὰς πρὸς ἀλλήλας σχέσεις. καὶ τῶν ἐπισημοτέρων πόλεών τε καὶ ποταμῶν καὶ κόλπων. ὀρῶν τε καὶ τῶν ἄλλων, τῶν εἰς οἰκουμένης πίνακα δυναμένων πεσεῖν τὰς ἀκριβεῖς ἀποχὰς, τουτέστιν ὅσας ἀπέχει μοίρας οἵων ἐστὶν ὁ μέγιστος κύκλος τριακοσίων ἑξήκοντα. κατὰ μὲν τὸ μῆκος ὁ διὰ τοῦ τόπου γραφόμενος μεσημβρινὸς ἀπὸ τοῦ τὸ δυσμικὸν πέρας ἀφορίζοντος ἐπὶ τοῦ ἰσημερινοῦ. κατὰ δὲ τὸ πλάτος ὁ δι' αὐτοῦ γραφόμενος παράλληλος ἀπὸ τοῦ ἰσημερινοῦ ἐπὶ τοῦ μεσημβρινοῦ. οὕτως γὰρ εὐθύς τε ἕξομεν διαγινώσκειν τὴν ἑκάστου θέσιν, καὶ διὰ τῆς κατὰ μέρος ἀκριβείας, καὶ τὴν τῶν ἐπαρχιῶν αὐτῶν σχέσιν πρὸς ἀλλήλας τε καὶ τὴν ὅλην οἰκουμένην.

Περὶ τῆς ἀσυμμετρίας τοῦ κατὰ τὸν Μαρῖνον γεωγραφικοῦ πίνακος. κ΄

Ἰδιάζοι Δ' ἂν ἑκατέρα τῶν ἐπιβολῶν, ὅτι τὸ μὲν ἐπὶ σφαίρας ποιεῖσθαι τὴν καταγραφὴν, αὐτόθεν μὲν ἔχει τὴν τοῦ σχήματος τῆς γῆς ὁμοιότητα, καὶ οὐ Δεῖ τινὸς πρὸς τὸ τοιοῦτον ἐπιτεχνήσεως. οὐ μὴν οὔτε πρόχειρον παρέχει τὸ δυνάμενον μέγεθος χωρῆσαι τὰ πολλὰ τῶν ἀναγκαίως καταχθησομένων, οὔτε τὴν ἐπιβολὴν τῆς ὄψεως ἀθρόαν ὅλῳ τῷ σχήματι

δύναται προσεπιβλέπειν· ἀλλὰ θάτερον δεῖ παραφέ-
ρειν τῆς τὴν τῶν ἐφεξῆς προσβολὴν, τουτέστιν ἢ τὴν
ὄψιν, ἢ τὴν σφαῖραν. τὸ δ' ἐν ἐπιπέδῳ τούτων μὲν
παντάπασιν ἀπήλλακται. μέθοδον δ' ἐπιζητεῖ τι-
νὰ πρὸς τὴν ὁμοιότητα τῆς σφαιρικῆς εἰκόνος. ἵνα
τὰς ἐπ' αὐτῇ συνισταμένας διαστάσεις, συμμέτρους
ὡς ἔνι μάλιστα ποιῇ, καὶ κατὰ τὴν ἡπλωμένην ἐπιφά-
νειαν ταῖς ἀληθιναῖς. ὁ μὲν οὖν Μαρῖνος εἰς ἐπίστασιν
οὐ τὴν τυχοῦσαν ἀγαγὼν, καὶ πάσας ἀπαξαπλῶς
μεμψάμενος ταῖς μεθόδοις τῶν ἐπιπέδων κατα-
γραφῶν, οὐδὲν ἧττον αὐτὸς φαίνεται κεχρημένος τῇ
μάλιστα μὴ ποιούσῃ συμμέτρους τὰς διαστάσεις. τὰς
μὲν γὰρ ἀντὶ τῶν κύκλων γραμμὰς τῶν τε παραλ-
λήλων καὶ τῶν μεσημβρινῶν, εὐθείας ὑπέστησε
πάσας, καὶ ἔτι καὶ τὰς τῶν μεσημβρινῶν, παραλλή-
λους ἀλλήλαις παραπλησίως τοῖς πολλοῖς. μόνον δ'
αὐτὸς τετήρηκε τὸν διὰ ῥόδου παράλληλον σύμμε-
τρον τῷ μεσημβρινῷ, κατὰ τὸν ἐν τῇ σφαίρᾳ τῶν ὁμοί-
ων περιφερειῶν ὡς τέταρτον ἔγγιστα λόγον τοῦ μεγί-
στου κύκλου, πρὸς τὸν παράλληλον τὸν ἀπέχοντα τοῦ
ἰσημερινοῦ μοίρας τριακονταέξ. τῶν δ' ἄλλων οὐδε-
νὸς ἔτι φαίνεται πεφροντικὼς, οὔτε συμμετρίας ἕνε-
κεν, οὔτε τῆς σφαιρικῆς προσβολῆς. πρῶτον μὲν γὰρ
καθισταμένης τῆς ὄψεως πρὸς τὸ μέσον τοῦ βορείου τε-
ταρτημορίου τῆς σφαίρας ἐν ᾧ τὸ πλεῖστον καταγράφε-
ται τῆς οἰκουμένης· οἱ μὲν μεσημβρινοὶ, δύνανται

φαντα-

φαντασίαν εὐθειῶν παρέχειν, ὅταν ἐκ τῆς περιφορᾶς ἕκαστος αὐτῶν καθίστηται, καὶ πίπτῃ τὸ ἐπίπεδον αὐτοῦ, διὰ τῆς κορυφῆς τῆς ὄψεως. οὐκέτι μέντοι καὶ οἱ παράλληλοι διὰ τὴν παράθεσιν τοῦ βορείου τέλους. κύκλων δὲ τμήματα παρεμφαίνουσι σαφῶς τὰ κυρτὰ πρὸς μεσημβρίαν ἀπεστρεφόντων. ἔπειτα καὶ κατὰ τὴν ἀλήθειαν καὶ κατὰ τὴν φαντασίαν τῶν ἀπὸ τῶν μεσημβρινῶν, ὁμοίως μὲν ἀνίσων δὲ περιφερείας ἐν τοῖς διαφέρουσι κατὰ μέγεθος παραλλήλοις ἀπολαμβανόντων, καὶ μειζόνων ἀεὶ τὰς ἐν τοῖς ἐγγυτέρω τοῦ ἰσημερινοῦ, πάσας αὐτῶν ἴσας τηρεῖ. τὰς μὲν τῶν βορειοτέρων κλιμάτων τοῦ διὰ ῥόδου διαστάσεις, ὡς ἐπὶ πλεῖον τῆς ἀληθείας ἐκτείνων. τὰς δὲ τῶν νοτιωτέρων, ἐπ' ἔλαττον συνάγων, ὡς μηδ' ἐναρμόζειν ἔτι αὐτὰς τοῖς ἐκτεθειμένοις ὑπ' αὐτοῦ σταδιασμοῖς. ἀλλὰ λείπειν μὲν τὰς ὑπὸ τὸν ἰσημερινὸν περὶ πέμπτῳ μάλιστα ἑαυτῶν μέρει, ὅσῳ καὶ ὁ διὰ ῥόδου παράλληλος λείπει τοῦ ἰσημερινοῦ. πλεονάζειν δὲ τὰς ὑπὸ τὸν διὰ θούλης τοῖς τέτταρσιν ἑαυτῶν πέμπτοις, ὅσοις καὶ ὁ διὰ ῥόδου πλεονάζει τοῦ διὰ θούλης. ἔστι γὰρ ἔγγιστα οἵων ὁ ἰσημερινὸς ἢ ὁ μεσημβρινὸς ἑκατὸν δεκαπέντε, τοιούτων ὁ μὲν, τὰς τριακονταὲξ μοίρας ἀπέχων τοῦ ἰσημερινοῦ καὶ διὰ ῥόδου γραφόμενος παράλληλος ϟγ̄. ὁ δὲ, τὰς ξγ̄, καὶ διὰ θούλης γραφόμενος νβ̄.

Τίνα δεῖ τηρεῖν ἐπὶ τῆς ἐν ἐπιπέδῳ γινομένης καταγραφῆς. κα

Καλῶς ἂν οὖν ἔχοι διὰ ταῦτα, τὰς μὲν ἀντὶ τῶν μεσημβρινῶν γραμμάς, τηρεῖν εὐθείας. τὰς δ' ἀντὶ τῶν παραλλήλων ἐν τμήμασι κύκλων, περὶ ἓν καὶ τὸ αὐτὸ κέντρον γραφομένων, ἀφ' οὗ κατὰ τὸ βόρειον πέρας ὑποτιθεμένου, διάγειν δεήσει τὰς μεσημβρινὰς εὐθείας. ἵνα πρὸ πάντων τὸ κατ' αὐτὴν τὴν σχέσιν, καὶ τὴν προσβολὴν τῆς σφαιρικῆς ἐπιφανείας, παρόμοιον διασώζηται, μενόντων τε πάλιν πρὸς τοὺς παραλλήλους ἀκλινῶν τῶν μεσημβρινῶν, καὶ ἔτι συμπιπτόντων ἐπὶ τὸ κοινὸν ἐκεῖνο πέρας. ἐπεὶ δὲ οὐχ οἷόν τε πάντων τῶν παραλλήλων σώζειν τὴν ὡς ἐπὶ σφαίρας ἀναλογίαν, αὐτάρκως ἂν ἔχοι τοῦτο μὲν τηρεῖν ἐπί τε τοῦ διὰ Θούλης, καὶ τοῦ ἰσημερινοῦ, ἵνα σύμμετροι τυγχάνωσιν αἱ περιέχουσαι τὸ καθ' ἡμᾶς πλάτος πλευραὶ ταῖς ἀληθιναῖς. τὸν δὲ διὰ Ῥόδου γραφησόμενον, ἐφ' οὗ καὶ τὰ κατὰ μῆκος διαστάσεων αἱ πλεῖσται γεγόνασιν ἐξετάσεις, κατὰ τὴν πρὸς τὸν μεσημβρινὸν ἀναλογίαν διαιρεῖν, ὡς ὁ Μαρῖνος ποιεῖ. τουτέστι κατὰ τὸν ἐπιτέταρτον ἔγγιστα λόγον τῶν ὁμοίων περιφερειῶν. ἵνα τὸ γνωριμώτερον τῆς οἰκουμένης, σύμμετρον ᾖ κατὰ πλάτος. ὃν δὲ τρόπον ταῦτα μεθοδευθήσεται, δῆλον ἐφεξῆς ποιήσομεν, ἐὰν ὡς δεῖ τὴν ἐν τῇ σφαίρᾳ καταγραφὴν γίνεσθαι προεκθώμεθα.

Πῶς δεῖ τὴν οἰκουμένην ἐν σφαίρᾳ καταγράφειν. κα΄

ΤΟ μὲν δὴ μέγεθος, ἢ τὸ πλῆθος τῶν καταχθησομένων πρόθεσις τοῦ κατασκευάζοντος διακρινεῖ ἂν, ὅπως ἔχει δυνάμεώς τε καὶ φιλοτιμίας, ὡς ἐφ᾽ ὅσον ἂν αὔξηται τὸ τῆς καταγραφῆς λεπτομερεστέρας τε ἅμα καὶ σαφεστέρας ἀποτελεσθησομένης. ὁπηλίκη δ᾽ οὖν ἐὰν ᾖ, λαβόντες αὐτῆς τοὺς πόλους ἀκριβῶς προσαρμόσομεν δι᾽ αὐτῶν ἡμικύκλιον ὀλίγιστον ἀπέχον τῆς ἐπιφανείας, ὥστε μόνον μὴ παρατρίβειν αὐτὴν ἐν τῇ περιφορᾷ. τὸ δ᾽ ἡμικύκλιον ἔστω μὲν στενὸν, ἵνα μὴ πλείοσιν ἐπιπροσθῇ τόποις. τὴν δ᾽ ἑτέραν τῶν πλευρῶν, ἐχέτω δι᾽ αὐτῶν ἀκριβῶς τῶν κατὰ τοὺς πόλους σημείων ἀπαρτιζομένην, ὅπως δι᾽ αὐτῆς γράφωμεν τοὺς μεσημβρινούς. ἣν καὶ διελόντες εἰς ρπ΄ τμήματα, παρασημειωσόμεθα τοὺς ἀριθμοὺς, ἀπὸ τῆς μέσης καὶ κατὰ τὸν ἰσημερινὸν γενομένης τομῆς, ποιούμενοι τὴν ἀρχήν. ὁμοίως δὲ καὶ τὸν ἰσημερινὸν γράψαντες καὶ τὸν ἕτερον αὐτοῦ τῶν ἡμικυκλίων διελόντες εἰς τὰ ἴσα ρπ΄ τμήματα, παραθήσομεν καὶ τούτῳ τοὺς ἀριθμοὺς τὴν ἀρχὴν ἀπ᾽ ἐκείνου ποιούμενοι τοῦ πέρατος δι᾽ οὗ τὸν δυσμικώτατον γράψομεν τῶν μεσημβρινῶν. ποιησόμεθα δὲ τὴν καταγραφὴν ἀπό τε τῶν ἐν τοῖς ὑπομνήμασι μοιρογραφικῶν μήκους τε καὶ πλάτους καθ᾽

ἵνα

ἵνα ἕκαστον τῶν σημαινομένων τόπων, ἢ ἀπὸ τῶν διαιρέσεων τῶν ἡμικυκλίων, τοῦ τε ἰσημερινοῦ, καὶ τοῦ κινουμένου μεσημβρινοῦ· τοῦτον μὲν, παραφέροντες ἐπὶ τὴν δηλουμένην τοῦ μήκους μοῖραν, τουτέστιν ἐπὶ τὴν τὸν ἀριθμὸν περιέχουσαν τοῦ ἰσημερινοῦ τομήν. τὴν δὲ κατὰ τὸ πλάτος ἀπὸ τοῦ ἰσημερινοῦ διάστασιν, ἐξ αὐτῆς τῆς τοῦ μεσημβρινοῦ διαιρέσεως λαμβάνοντες. καὶ κατὰ τὸν δηλούμενον ἀριθμὸν, ἐκτιθέμενοι τὴν σημείωσιν, τὸν αὐτὸν τρόπον τῷ ἐπὶ τῆς στερεᾶς σφαίρας ἀστερισμῷ. ὁμοίως δὲ καὶ τοὺς μεσημβρινοὺς ἔξεστι γράφειν, δι' ὅσων ἂν προαιρώμεθα τοῦ μήκους μοιρῶν, αὐτῇ τῇ διῃρημένῃ τοῦ κινουμένου πλευρᾷ κανόνι χρωμένοις. τοὺς δὲ παραλλήλους, δι' ὅσων ἂν σύμμετρον ᾖ τῶν ἀπὸ χωρῶν παραληφθεῖσι τὴν καταγραφὴν αὐτοὺς, κατὰ τὴν οἰκείαν ἀρχὴν σημαίνοντι τῆς ἐπὶ τοῦ μεσημβρινοῦ πλευρᾶς ἀριθμοῦ, καὶ συμπαραφέρουσιν αὐτὸν κατὰ κύκλον, μέχρι τῶν τὰ πέρατα τῆς ἐγνωσμένης γῆς ἀφοριζόντων μεσημβρινῶν.

Ἔκθεσις τῶν ἐντασσομένων τῇ καταγραφῇ μεσημβρινῶν καὶ παραλλήλων. κγ

ΟΥτοι μὲν οὖν περιέξουσιν, ὡριαῖα διαστήματα δύω δέκα τοῖς ἀποδεδειγμένοις ἀκολούθως. γράφεται δὲ καὶ ὁ τὸ νοτιώτερον πέρας ἀφορίζων παράλληλος, τοσοῦτον ἀπέχων τοῦ ἰσημερινοῦ πρὸς μεσημβρίαν, ὅσον καὶ ὁ διὰ μερόης πρὸς τὰς ἄρκτους.

ἡμῖν

ἡμῖν καί τι σύμμετρον ἔδοξεν εἶναι, τοὺς μὲν μεσημβρινοὺς γράφειν διὰ τριτημορίου μιᾶς ὥρας ἰσημερινῆς· τουτέστι διὰ πέντε τῶν εἰλημμένων τοῦ ἰσημερινοῦ τμημάτων. τοὺς δὲ βορειοτέρους τοῦ ἰσημερινοῦ παραλλήλους,

Ὥστε τὸν μὲν πρῶτον ἀπ' αὐτοῦ, τετάρτῳ μιᾶς ὥρας διαφέρειν. ἀπέχοντα κατὰ τὸν μεσημβρινὸν ὡς αἱ γραμμικαὶ δείξεις ἔγγιστα ὑποβάλλουσι μοί δ δ'.

Τὸν δὲ δεύτερον, ἡμισείᾳ μιᾶς ὥρας διαφέρειν, ἀπέχοντα ὁμοίως μοί η γ' ιβ'.

Τὸν δὲ γ, ὥρᾳ ἡμισείᾳ καὶ δ' μιᾶς ὥρας διαφέρειν, ἀπέχοντα ὁμοίως μοί ιβ ∠'.

Τὸν δὲ δ, ὥρᾳ μιᾷ διαφέρειν, ἀπέχοντα μοί ιϛ γ' ιβ', καὶ γραφόμενον διὰ τῆς μερόης.

Τὸν δὲ ε, ὥρᾳ μιᾷ καὶ δ', διαφέρειν, ἀπέχοντα μοί κ καὶ δ'.

Τὸν δὲ ϛ, καὶ ὑπὸ τὸν θερινὸν τὸν διὰ συήνης τροπικὸν ὥρᾳ μιᾷ καὶ ἡμίσει διαφέρειν, ἀπέχοντα μοί κγ ∠' γ'.

Τὸν δὲ ζ, ὥρᾳ μιᾷ καὶ ∠' καὶ δ' διαφέρειν, ἀπέχοντα μοί κζ ∠' ϛ'.

Τὸν δὲ η, διὰ ἀλεξανδρείας, ὥραις δυσὶ διαφέρειν, ἀπέχοντα μοί λ καὶ γ'.

Τὸν δὲ θ, ὥραις δυσὶ καὶ δ', διαφέρειν, ἀπέχοντα μοί λγ καὶ γ'.

Τὸν δὲ ι, ὥραις δυσὶ καὶ ἡμίσει διαφέρειν, ἀπέ-


χοντα μοί λϛ̄ καὶ γραφόμενον διὰ τῆς ξοδίας.
Τὸν δὲ ιᾱ, ὥραις δυσὶ καὶ ∠′ καὶ Δ′ διαφόρειν, ἀπέχοντα μοί λη̄ ∠′ ιϛ′.
Τὸν δὲ ιβ̄, ὥραις τρισὶ διαφόρειν, ἀπέχοντα μοί μ̄ ∠′ γ′ ιϛ′, ὁ διὰ ἑλλησπόντου ιβ̄.
Τὸν δὲ ιγ̄, ὥραις τρισὶ καὶ Δ′ διαφόρειν, ἀπέχοντα μοί μγ̄ ιβ′, ὁ διὰ βυζαντίου ιγ̄.
Τὸν δὲ ιΔ̄, ὥραις τρισὶ καὶ ἡμίσει διαφόρειν ἀπέχοντα μοί μ̄ε, ὁ διὰ μέσου πόντου ιΔ̄.
Τὸν δὲ ιε̄, ὥραις Δ̄ διαφόρειν, ἀπέχοντα μοί μη̄ ∠′, ὁ διὰ βορυσθένους ιε̄.
Τὸν δὲ ιϛ̄, ὥραις Δ̄ καὶ ∠′ διαφόρειν, ἀπέχοντα μοί νᾱ.
Τὸν δὲ ιζ̄, ὥραις ε̄ διαφόρειν, ἀπέχοντα μοίρας νΔ̄.
Τὸν δὲ ιη̄, ὥραις ε̄ καὶ ἡμίσει διαφόρειν, ἀπέχοντα μοί νϛ̄.
Τὸν δὲ ιθ̄, ὥραις ϛ̄ διαφόρειν, ἀπέχοντα μοί νη̄.
Τὸν δὲ κ̄, ὥραις ζ̄ διαφόρειν, ἀπέχοντα μοί ξᾱ.
Τὸν δὲ κᾱ, ὥραις η̄ διαφόρειν, ἀπέχοντα μοί ξγ̄, καὶ γραφόμενον διὰ τῆς θούλης.
Καὶ ἄλλος ἦ γεγράψεται πρὸς μεσημβρίαν τοῦ ἰσημερινοῦ, ποιῶν διαφορὰν ἡμιωρίου. ὃς ἐλεύσεται διά τε τοῦ ῥάπτου ἀκρωτηρίου καὶ τῶν καττιγαρῶν, ἔγγιστα τὰς ἴσας ταῖς ἀντικειμέναις ἀπέχων τοῦ ἰσημερινοῦ μοί η̄ γ′ ιϛ′.

Μέθοδος εἰς τὴν ἐν ἐπιπέδῳ τῆς οἰκουμένης σύμμετρον τῇ σφαιρικῇ θέσει καταγραφήν. κδ̅

Ἐπὶ δὲ τῆς ἐν τῷ πίνακι καταγραφῆς, ἡ τῆς συμμετρίας τῶν ἄκρων παραλλήλων μέθοδος ἡμῖν ἔσται τοιαύτη. κατασκευάσομεν πίνακα παραλληλόγραμμον ὀρθογώνιον, οἷος ἐστὶν ὁ α β γ δ, διπλασίαν ἔχοντα ἔγγιστα τὴν α β πλευρὰν, τῆς α γ. ὑποκείσθω δὲ ἡ εὐθεῖα ἡ α β, κατὰ τὴν ἄνω θέσιν, ἐσομένη ἐπὶ τὰ βόρεια μέρη τῆς καταγραφῆς. ἔπειτα διελόντες τὴν α β, δίχα τε καὶ πρὸς ὀρθὰς τῇ ε ζ εὐθείᾳ, προσαρμόσομεν αὐτῇ κανόνα σύμμετρον καὶ ὀρθόν. ὥστε τὴν ἀπὸ τοῦ μήκους αὐτοῦ μέσην γραμμὴν, ἀπὸ μιᾶς εὐθείας συνίστασθαι τῇ ε ζ. ὡς τὴν πρὸς τὴν ε η. καὶ γινέσθω ἡ ε η τοιούτων λδ̅. οἵων ἐστὶν ἡ η ζ εὐθεῖα, ρλα̅ γ' ιβ'. καὶ κέντρῳ τῷ η, διαστήματι δὲ τῷ ἀπέχοντι αὐτοῦ σημείῳ ἐπὶ τῆς η ζ, τμήματα ο̅θ, κύκλον γράφομεν τὸν ἐσόμενον ἀντὶ τοῦ διὰ Ῥόδου παραλλήλου, ὡς τὸν θ κ λ. πρὸς μὲν δὴ τοῦ μήκους ὅσου ἐξ ὡριαίων διαστημάτων συναγομένων ἐφ' ἑκάτερα τοῦ κ, λαβόντες τὴν ἐπὶ τῆς κ ε, τοῦ μέσου μεσημβρινοῦ γραμμῆς διάστασιν τεσσάρων διαστημάτων, ἐπὶ τοῦ διὰ τῆς Ῥοδίας παραλλήλου πέντε ὁμοίων, διὰ τὸν ἐπὶ τέταρτον ἔγγιστα λόγον τοῦ μεγίστου κύκλου πρὸς αὐτὸν, καὶ τηλι-

καὶ αὐτὰς ὀκτωκαίδεκα διεκβαλόντες ἐφ' ἑκάτερα
τοῦ κ κατὰ τὴν θ κ λ περιφέρειαν, ἕξομεν τὰ ση-
μεῖα δι' ὧν ἐπιζευγνῦσαι διήσει ἀπὸ τοῦ κ, τοὺς τὰ
τριτημόρια τῶν ὡρῶν διαστήματα περιέξοντας με-
σημβρινούς. ὥς τε καὶ τοὺς ἀφορίζοντας τὰ πέρατα
τόν τε κ θ μ, καὶ τὸν κ λ ν. γραφήσεται δὲ ἀ-
κολούθως. ἐπεὶ ὁ μὲν διὰ θούλης διαστήματι γέγραπται ἀπέχον-
τι ἀπὸ τοῦ κ ἐπὶ τῆς ζ κ τμήματα νβ̄, ὡς ὁ ξ
ο π. Ο δὲ ἰσημερινός, γέγραπται ἀπέχοντι τοῦ κ ὁμοί-
ως, τμήματα ριε̄. ὡς ὁ ρ σ τ. ὁ δὲ ἀντικείμενος
τῷ διὰ μερόης ἐπὶ νοτιώτατος, ἀπέχοντι τοῦ κ τμήμα-
τα ρλα̅ γ' ιβ'. ὡς ὁ μ υ ν. συναχθήσεται οὖν
ὁ μὲν τῆς ρ σ τ, πρὸς τὴν ξ ο π λόγος, ὁ τῶν
ριε̄, πρὸς τὰ νβ̄. κατὰ τὴν ἐπὶ τῆς σφαίρας τῶν
παραλλήλων τούτων λόγον. ἐπειδὴ καὶ οἵων μὲν, ἡ
κ σ ὑπόκειται ριε̄, τοιούτων ὅσων καὶ ἡ κ ο, τμη-
μάτων νβ̄. ὡς δὲ ἡ κ σ, πρὸς τὴν κ ο, οὕτως ἡ
ρ σ περιφέρεια, πρὸς τὴν ξ ο π. καταλειφθήσε-
ται δὲ καὶ ἡ μὲν ο κ τοῦ μεσημβρινοῦ διάστασις,
τουτέστιν ἡ ἀπὸ τοῦ διὰ θούλης ἐπὶ τὴν διὰ ῥόδου τμη-
μάτων κ ζ. ἡ δὲ κ σ. τουτέστιν ἡ ἀπὸ τοῦ διὰ ῥό-
δου μέχρι τοῦ ἰσημερινοῦ, τῶν αὐτῶν λς̄. ἡ δὲ σ υ.
τουτέστιν ἡ ἀπὸ τοῦ ἰσημερινοῦ ἐπὶ τὴν ἀντικείμενον
τῷ διὰ μερόης, τῶν αὐτῶν ις̄ γ' ιβ'. καὶ ἔτι οἵων
ἐστὶν ἡ ο υ, κατὰ πλάτος τῆς ἐγνωσμένης γῆς διά-
στασις οθ̄ γ' ιβ', ἢ ὅλων π̄, τοιούτων ἔσται καὶ ἡ

θ κ λ


π. θούλης
λ. ῥόδου

θ κ λ μέσης κατὰ μῆκος διάστασις, ρ μ Δ. ἀκολούθως τοῖς ἐκ τῶν ἀποδείξεων ὑποτιθεμένοις. τὴν αὐτὴν γὰρ τούτῳ λόγον ἔχουσιν ἔγγιστα καὶ οἱ τετρακισμύριοι τοῦ πλάτους σταδίοι, πρὸς τοὺς ἑπτακισμυρίους δισχιλίους, τοῦ κατὰ τὴν τῆς ῥοδίας παράλληλον μήκους. καὶ τοὺς λοιποὺς δὲ τῶν παραλλήλων, γράφομεν, ἐὰν προαιρώμεθα κέντρῳ πάλιν τῷ η, καὶ διαστήματι τοῖς ἀπέχουσιν ἀπὸ τοῦ σ τὰ ἴσα τμήματα τοῖς ἐκκειμένοις ἀπὸ τῶν ἀρχῶν τοῦ ἰσημερινοῦ. δεήσει δ' ἡμῖν καὶ μὴ διευθύνειν τὰς ἀντὶ τῶν μεσημβρινῶν γραμμὰς, ἕως τοῦ μ υ ν παραλλήλου, ἀλλὰ μέχρι μόνου τοῦ ρ σ τ ἰσημερινοῦ. ἔπειτα διελοῦσι τὴν μ υ ν περιφέρειαν, εἰς ἑξήκοντα ἴσα τε καὶ ἰσάριθμα τμήματα τοῖς ἐπὶ τοῦ διὰ μερόης εἰλημμένοις ἐπὶ ταύτας τὰς τομὰς ἐπιζευγνύειν ἀπὸ τῶν κατὰ τὸν ἰσημερινὸν τὰς μεταξὺ πιπτούσας εὐθείας τῶν μεσημβρινῶν. ὅπως ἐμφαίνηταί πως ἡ ἐπὶ θάτερα τοῦ ἰσημερινοῦ πρὸς μεσημβρίαν ἀποκλίνουσα θέσις, ἐκ τῆς μεταλαμβανομένης ἐπιστροφῆς. ὡς ἔχουσιν αἱ ρ φ, καὶ τ χ γραμμαί.


Λοιπὸν δὲ ἕνεκεν τοῦ προχείρου τῆς τῶν καταταττομένων τόπων παρασημειώσεως, ποιήσομεν πάλιν κανόνιον στενὸν, ἴσον τῷ μήκει τῇ η ζ, ἢ τῇ η σ μόνῃ. καὶ ἐμπηλίσαντες αὐτὸ πρὸς τῷ η, ὥστε παραφερόμενον καθ' ὅλον τὸ μῆκος τῆς καταγραφῆς ἐφαρμόζειν ἀκριβῶς τὴν ἑτέραν τῶν πλευρῶν


ταῖς

ταῖς τῶν μεσημβρινῶν εὐθείαις, ἀλλὰ τὴν κατὰ μέσου τοῦ πόλου τὴν ἐκτομὴν αὐτοῦ ποιεῖν, διελοῦμεν ταύτην τὴν πλευρὰν εἰς τὰ ἐπιβάλλοντα, ἤτοι τῇ κ ξ τμήματα ρλα΄ ∠΄ ιβ΄. ἢ τῇ κ σ μόνῃ τμήματα ριε΄. καὶ παρασημειωσόμεθα τοὺς ἀριθμοὺς, ἀπὸ τοῦ κατὰ τὸν ἰσημερινὸν τομῆς ποιούμενοι τὴν ἀρχὴν, ἀφ᾽ ὧν καὶ τοὺς παραλλήλους ἐξέσται γράφειν, ἵνα μὴ τὸν ἀπὸ τῆς καταγραφῆς μεσημβρινὸν εἰς πάντα τὰ τμήματα διαιροῦντες καὶ ὑποσημειούμενοι, συγχέωμεν τὰς ὀνομασίας πρὸς αὐτῇ τῶν τόπων ἐπιγραφαῖς. διελόντες οὖν καὶ τὸν ἰσημερινὸν εἰς τὰς τῶν δώδεκα ὡρῶν ρπ΄ μοί. καὶ παραθέντες τοὺς ἀριθμοὺς ἀπὸ τῆς κατὰ τὸν δυσμικώτατον μεσημβρινὸν ἀρχῆς, παροίσομεν ἀεὶ τὴν τοῦ κανονίου πλευρὰν ἐπὶ τὴν δηλουμένην τοῦ μήκους μοῖραν. καὶ διὰ τῆς ἐν τῷ κανονίῳ διαιρέσεως ἐπὶ τὴν κατὰ πλάτος σημαινομένην θέσιν ἀφικνούμενοι, τὴν δέουσαν ἐφ᾽ ἑκάστου ποιησόμεθα σημείωσιν, τὸν αὐτὸν τρόπον τοῖς ἐπὶ τῆς σφαίρας ὑποδεδειγμένοις. ἔτι δ᾽ ἂν ὁμοιότερόν τε καὶ συμμετρότερον ποιοίμεθα τὴν ἐν τῷ πίνακι τῆς οἰκουμένης καταγραφὴν, εἰ καὶ τὰς μεσημβρινὰς γραμμὰς καταλάβοιμεν τῇ φαντασίᾳ τῶν ἐπὶ τῆς σφαίρας μεσημβρινῶν γραμμῶν ὡς τοῦ ἄξονος τῆς ὄψεως διήκοντος ἐν τῇ θέσει τῆς σφαίρας, διὰ τοῦ τῆς πρὸς τῇ ὄψει τομῆς, τοῦ διχοτομοῦντος τὸ μῆκος τῆς ἐγνωσμένης γῆς μεσημβρινοῦ, καὶ τοῦ διχο-

τομοῦ

τεμοῦντος αὐτοῦ τὸ πλάτος παραλλήλου. ἔτι τοῦ κέν-
τρου τῆς σφαίρας. ἵν' ἐξ ἴσου τὰ ἀντικείμενα πέρατα
ταῖς ὄψεσι καταλαμβάνηταί τε καὶ φαίνηται. πρώ-
την δὲ ἕνεκεν τοῦ προσοῦ τῆς ἐγκλίσεως τῶν τε παραλ-
λήλων κύκλων καὶ τοῦ διὰ τῆς σημαινομένης τομῆς
καὶ τοῦ κέντρου τῆς σφαίρας ὀρθοῦ πρὸς τὸν μέσον τοῦ
μήκους μεσημβρινὸν ἐπίπεδον, νοείσθω ὁ μέγιστος
κύκλος, ὁ τὸ φαινόμενον ἡμισφαίριον ἀφορίζων ὁ α
β γ δ. καὶ τοῦ μὲν διχοτομοῦντος τὸ ἡμισφαίριον
μεσημβρινὸν ἡμικύκλιον, τὸ α ε γ. ἡ δὲ πρὸς τῇ ὄ-
ψει τομὴ τούτου τε καὶ τοῦ διχοτομοῦντος τὸ πλά-
τος παραλλήλου, τὸ ε σημεῖον. καὶ γεγράφθω διὰ
τοῦ ε μεγίστου κύκλου, πάλιν ἡμικύκλιον ὀρθὸν πρὸς
τὸ α ε ζ γ, τὸ β ε δ. ὃ τὸ ἐπίπεδον δηλονότι κατὰ
τὸν ἄξονα ὑποκείσεται τῶν ὄψεων. ἀφαιρεθείσης τε
τῆς ε ζ περιφερείας μοιρῶν κγ ἡμίσους τρίτου, το-
σαύτας γὰρ διέστηκεν ὁ ἰσημερινὸς τοῦ διὰ συήνης, ὃς
μέσος ἔγγιστα καθίσταται τοῦ πλάτους, γεγράφθω καὶ
διὰ τοῦ ζ ἡμικύκλιον τοῦ ἰσημερινοῦ, τὸ β ζ δ. ἐγ-
κεκλιμένον ἄρα φανήσεται, τό, τε τοῦ ἰσημερινοῦ ἐπί-
πεδον, καὶ τὰ τῶν ἄλλων παραλλήλων, πρὸς τὸ διὰ
τοῦ ἄξονος τῶν ὄψεων, τῇ ε ζ περιφερείᾳ μοιρῶν
οὔσῃ κγ, ἡμίσους, τρίτου. νοείσθωσαν δὴ αἱ α ε
ζ γ. καὶ β ε δ εὐθεῖαι ἀντὶ περιφερειῶν. τῆς β
ε λόγον ἐχούσης πρὸς τὴν ε ζ, τὸν τῶν ϛ πρὸς
τὰ κγ Ĺ γ.


η
α
ε
β
δ
θ
ζ
ι





Καὶ ἐκβληθείσης τῆς γ α, πιπτέτω τὸ κέντρον ἐν ᾧ γραφήσεται τὸ β ζ δ τοῦ κύκλου τμῆμα, κατὰ τὸ η. προκείσθω τε εὑρεῖν τὸν τῆς η ζ πρὸς τὴν ε β λόγον. ἐζεύχθω δή, ἡ ζ β εὐθεῖα, καὶ δίχα διαιρεθείσης αὐτῆς κατὰ τὸ θ, ἐπεζεύχθω καὶ ἡ θ η κάθετος δηλονότι πρὸς τὴν β ζ γινομένη. ἐπεὶ τοίνυν οἵων ἐστὶν ἡ β ε εὐθεῖα ϛ̄, τοιούτων ὑπόκειται ἡ ε ζ, κ γ̄ ἡμίσεος γʹ, τῶν αὐτῶν ἔσται, καὶ ἡ μὲν β ζ ὑποτείνουσα ϛ γ̄ δεκάτου, ἡ δὲ ὑπὸ β ζ ε γωνία, τοιούτων ρν̄ καὶ γʹ, οἵων εἰσὶν αἱ δύο ὀρθαὶ τ̄ξ. λοιπὴ δὲ καὶ ἡ ὑπὸ θ η ζ, τῶν αὐτῶν κ̄θ γʹ. καὶ διὰ τοῦτο ὁ λόγος ἐστὶ τῆς η ξ πρὸς τὴν

ζ θ, ὁ

ζ θ, ὁ τῶν ρπα ἡμίσους τρίτου, πρὸς τὰς μς ἐπὶ ∠' κ'. καὶ ἔστιν ὅλων ἡ θ ζ εὐθεῖα μς ∠' κ', τριῶν τῶν ἡ β ε εὐθεῖα ϟ. ὥστε καὶ ὅλων ἐστὶν, ἡ μὲν ε β εὐθεῖα ἐνενήκοντα, ἡ δὲ ζ ε τῶν αὐτῶν κγ ἡμίσεος τρίτου, τοιούτων ἕξομεν καὶ τὴν η ζ εὐθεῖαν ρπα ∠' γ'. καὶ τὸ η σημεῖον, ᾧ γραφήσονται πάντες οἱ ἐν τῇ ἐπιπέδῳ καταγραφῇ παράλληλοι.

Τούτων δὲ προληφθέντων, ἐκκείσθω ὁ α β γ δ πίναξ, διπλασίαν μάλιστα πάλιν ἔχων τὴν α β τῆς α γ. ἴσην δὲ τὴν α ε τῇ ε β. καὶ πρὸς αὐτὰς ὀρθὴν τὴν ε ζ. διῃρήσθω τε ἴση οὖσα τῇ ε ξ εὐθείᾳ, εἰς τὰς ϟ τοῦ τεταρτημορίου μοί. ἀποληφθεισῶν δὲ τῆς μὲν ζ η μοι ις τρίτου ιβ'. τῆς δὲ η θ μοι κς ∠' τρίτου. τῆς δὲ η κ τῶν αὐτῶν ξγ, ἐπὶ τοῦ η ὑποτεθέντος κέντρου τὸν ἰσημερινόν, ἔσται ἐπὶ τὸ μὲν θ δι' οὗ γραφήσεται ὁ διὰ συήνης, ἐπὶ μεταξὺ ἔγγιστα τοῦ πλάτους παράλληλος. τὸ δὲ ζ, δι' οὗ γραφήσεται ὁ ἀφορίζων τὸ νότιον πέρας, καὶ ἀντικείμενος τῷ διὰ μερόης. τὸ δὲ κ, δι' οὗ γραφήσεται ὁ ἀφορίζων τὸ βόρειον πέρας καὶ διὰ θούλης τῆς νήσου πίπτων. καὶ δὴ προσεκβαλόντες τὴν ἐπ' αὐτῆς τὴν κ λ, τῶν αὐτῶν ρπα, καὶ τὰ ἑξῆς τῶν αὐτῶν ρπα ἡμίσους τρίτου τμημάτων, ἢ καὶ ρπ μοιρῶν μόνων· οὐδενὶ γὰρ ἀξιολόγῳ παρὰ τοῦτο ἡ καταγραφὴ διοίσει· κέντρῳ τῷ λ, καὶ διαστήμασι τοῖς ζ καὶ θ καὶ κ, τὰς π κ ρ, καὶ ξ θ ο, καὶ μ ζ ν περι

φερείας γράφομεν. ὁ μὲν τοίνυν οἰκεῖος λόγος τῶν
παραλλήλων πρὸς τὸ, διὰ τοῦ ἄξονος τῆς ὄψεως ἐπὶ
πεδον ἐγκλίσεως, οὕτως ἔσται τετηρημένος. ἐπειδὴ
κἀνταῦθα ὁ ἄξων νεύειν τι ὀφείλει πρὸς τὸ θ, καὶ
ὀρθὸς εἶναι πρὸς τὸ τοῦ πίνακος ἐπίπεδον, ἵνα πάλιν
ἐξίσου τὰ ἀντικείμενα πέρατα τῆς καταγραφῆς τῇ
ὄψει καταλαμβάνηται. ὅπως δὲ καὶ τὸ μῆκος σύμ-
μετρον ᾖ τῷ πλάτει· ἐπειδήπερ ὑπὲρ τῆς σφαίρας
οἵων ἐστὶν ὁ μέγιστος κύκλος πέντε τοιούτων ἔγγι-
στα ὁ μὲν διὰ θούλης συνάγεται β̄ καὶ δ′, ὁ δὲ διὰ
συήνης, τεσσάρων ἡμίσεος δωδεκάτου, ὁ δὲ διὰ με-
ρόης, τεττάρων ἡμίσεος τρίτου· δεῖ δ᾽ ἐφ᾽ ἑκάτερα
τοῦ ζ κ μεσημβρινῆς εὐθείας, ὀκτωκαίδεκα θέσθαι
μεσημβρινοὺς, διὰ τριτημορίου μιᾶς ὥρας ἰσημερι-
νῆς εἰς συμπλήρωσιν τῶν ὑφ᾽ ὅλου τοῦ μήκους περιε-
χομένων ἡμικυκλίων· ληψόμεθα τὰ ἰσοδυναμοῦν-
τα τμήματα καθ᾽ ἕκαστον τῶν ἐκκειμένων τριῶν
παραλλήλων, τοῖς τοῦ τριτημορίου τῆς μιᾶς ὥρας ε̄
μοί. ἀπὸ μὲν τοῦ κ, διὰ δύο καὶ τετάρτου μοιρῶν
ποιούμενοι τὰς τομὰς, οἵων εἴχομεν τὴν ε ζ εὐθεῖαν
ϙ̄. ἀπὸ δὲ τοῦ θ, δ̄ ∠′ ιβ′. ἀπὸ δὲ τοῦ ζ τεσσά-
ρων ἡμίσεος τρίτου ὑπὲρ τούτων αὐτῶν. ἔπειτα γρά-
ψαντες διὰ τῶν ἰσοδυναμούντων τριῶν σημείων
τὰς γινομένας ἀντὶ τῶν λοιπῶν μεσημβρινῶν περι-
φερείας, ὡς τὰς ἀφοριζούσας τὸ πᾶν μῆκος τήν τε
σ τ υ, καὶ τὴν φ χ ψ, προσαναπληρώσομεν

καὶ



καὶ τὰς ἀντὶ τῶν λοιπῶν παραλλήλων. κέντρῳ μὲν, πάλιν τῷ λ, διαστήματι δὲ τοῖς γινομένοις ἐπὶ τῇ ζ κ τμήμασι κατὰ τὰς πρὸς τὸν ἰσημερινὸν αὐτῶν διαστάσεις. τὸ δὲ ἀνομοιότερον τῷ ἐπὶ τῆς σφαίρας σχήματι τὸ ἐκ τῆς τοιαύτης καταγραφῆς παρὰ τὴν προτέραν αὐτόθεν ἐστὶ δῆλον. ἐπειδὴ κἀκεῖ μενούσης τῆς σφαίρας καὶ μὴ περιστρεφομένης ὃ καὶ τῷ πίνακι συμβέβηκεν, ἐξ ἀνάγκης κατὰ τὸ μέσον τῆς καταγραφῆς τὴν ὄψιν τετραμμένου, εἷς μὲν ὁ μέσος καὶ μεσημβρινὸς ἐν τῷ διὰ τοῦ ἄξονος τῶν ὄψεων ἐπιπέδῳ πίπτων, εὐθείας ἂν παρέχοι φαντασίαν. οἱ δὲ ἐφ' ἑκάτερα τούτου πάντες, ἐπεστραμμένοι κατὰ τὰ κοῖλα πρὸς αὐτὸν φαίνονται, καὶ μᾶλλον οἱ πλέον αὐτοῦ διεστηκότες. ὃ κἀνταῦθα παραφυλάττεται μετὰ τῆς δεούσης τῶν κυρτοτήτων ἀναλογίας. ἔτι τὸ σύμμετρον τῶν παραλλήλων περιφερειῶν πρὸς ἀλλήλας, οὐκέτι μόνον τῶν ὑπὸ τὸν ἰσημερινὸν καὶ τὸν διὰ Θούλης, ὡς ἐκεῖ σώζειν τὸν οἰκεῖον λόγον, ἀλλὰ καὶ παρὰ τῶν ἄλλων ὡς ἔνι μάλιστα ἐγγυτάτω, καθάπερ ἔξεστι πειρωμένοις σκοπεῖν. ἔτι τοῦ ὅλου πλάτους πρὸς ὅλον τὸ μῆκος, οὐκ ἐπὶ μόνου πάλιν τοῦ διὰ τῆς Ῥοδίας γραφομένου παραλλήλου καθάπερ ἐκεῖ, σχεδὸν δὲ ἐπὶ πάντων ἁπλῶς. ἐὰν γὰρ κἀνταῦθα διαγάγωμεν τὴν σ ω υ εὐθεῖαν ὡς ἐπὶ τοῦ προτέρου σχήματος, ἥτε θ ω περιφέρεια, ἐλάττονα δηλονότι ποιήσει λόγον πρὸς τὰς ζ σ, καὶ κ υ, τοῦ προσήκοντος ἐν ταύτῃ τῇ

κατα

καταγραφῇ λόγου, ὃς εἴληπται καθ' ὅλην τὴν θ τ, νοουμένης κατὰ τὸν ἰσημερινόν. ἐάν τε ταύτην σύμμετρον ποιήσωμεν τῇ κ ζ τοῦ πλάτους διαστάσει αἱ ζ σ καὶ κ υ, μείζους ἔσονται τῶν πρὸς τῇ ζ κ συμμέτρων. ὥσπερ καὶ ἡ θ τ. ἐάν τε τὰς ζ σ, καὶ κ υ, τηρῶμεν τῇ ζ κ συμμέτρους, ἡ θ ω, ἐλάττων ἔσται πρὸς τὴν κ ζ συμμέτρου, καθάπερ καὶ τῆς θ τ.

Τούτοις μὲν οὖν ἂν ἡ μέθοδος αὕτη πλεονεκτείη τῆς προτέρας. λείποιτο δ' ἂν ἐκείνης καὶ αὕτη κατὰ τὸ προχείρως τῆς καταγραφῆς. ἐπειδήπερ ἐκεῖ μὲν ἦν ἀπὸ τῆς τοῦ κανονίου παραγωγῆς τε καὶ περιφορᾶς ἑνὸς μόνου τῶν παραλλήλων γραφέντος καὶ διαιρεθέντος, ἐντάσσειν ἕκαστον τῶν τόπων. ἐνθάδε δὲ μηκέτι τοῦ τοιούτου προχωροῦντος διὰ τὰς τῶν μεσημβρινῶν γραμμῶν πρὸς τὴν μέσην ἐπιστροφὰς, πάντας τε δεῖ τοὺς κύκλους προσκαταγράφειν, καὶ τὰς μεταξὺ τῶν πλινθίων πιπτούσας θέσεις, κατὰ πρὸς ὅλας τὰς περιεχούσας πλευρὰς, διὰ τῶν διασημαινομένων μερῶν ἐπιλογισμῷ καταστοχάζεσθαι. τούτων δὲ οὕτως ἐχόντων, προτιμητέον μὲν ἔμοιγε κἀνταῦθα καὶ πανταχῇ, τὸ βέλτιον καὶ ἐπιπονώτερον, τοῦ χείρονος καὶ ῥᾴονος. τηρητέον δὲ ὅμως ἀμφοτέρας τὰς μεθόδους καταπεπαγμένας, ἕνεκεν τῶν διὰ τὴν προχειρότητα αὐτῶν ὑπὸ ῥᾳστώνης κατεχομένων.

Οἵων ἐστὶν ὁ ἰσημερινὸς ε, τοιούτων ὁ διὰ μερόης Δ ∠′ γ′. ὡς λόγον ἔχειν πρὸς αὐτὸν, ὃν τὰ λ̄ πρὸς κ̄θ.
Οἵων ἐστὶν ὁ ἰσημερινὸς ε̄, τοιούτων ὁ διὰ συήνης Δ ∠′ ιβ′. ὡς λόγον ἔχειν πρὸς αὐτὸν, ὃν τὰ ξ̄ πρὸς νε̄. τουτέστιν ὃν τὰ ιᾱ, πρὸς τὰ ιᾱ.
Οἵων ἐστὶν ὁ ἰσημερινὸς ε̄, τοιούτων ὁ διὰ ῥόδου Δ ∠′. ὡς λόγον ἔχειν πρὸς αὐτὸν τὸν ἐπίτεταρτον.
Οἵων ἐστὶν ὁ ἰσημερινὸς ε̄, τοιούτων ὁ διὰ θούλης ᾱ Δ′. ὡς λόγον ἔχειν πρὸς αὐτὸν, ὃν τὰ κ πρὸς θ.

ΤΕΛΟΣ



ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ ΓΕΩΓΡΑΦΙΚΗΣ ΥΦΗΓΗΣΕΩΣ ΒΙΒΛΙΟΝ Β

Ἔκθεσις τοῦ δυσμικωτέρου τῆς εὐρώπης κατὰ τὰς ὑποκειμένας ἐπαρχίας, ἢ στρατηγίας.

Περιορισμός. Ἀκρωτήρια. Νῆσοι. Ποτα-
μῶν παραθέσεις. Παραλίου περιγραφή.
Πελαγῶν ὀνόματα. Ὄρη. Ποταμοί. Λίμ-
ναι. Ἐπαρχιῶν ὀνόματα. Χῶραι,
ἢ ἔθνη. Ἐπιγραφαί. Ἐπιγράμ-
ματα. Ἐπίσημοι πόλεις.
Δεύτεραι πόλεις,
τρίται πό-
λεις.

ΠΡΟΛΟΓΟΣ



Α μὲν οὖν καθόλου λαμβανόμενα περὶ γεωγραφίας, καὶ τίς ἂν γένοιτο διόρθωσις τῆς καταγραφῆς ἀκολούθως τῇ μέχρι δεῦρο ἱστορίᾳ τῶν ἐγνωσμένων μερῶν τῆς γῆς, τουτέστι τῆς καθ' ἡμᾶς οἰκουμένης ἔν τε τῇ συμμετρίᾳ τῶν τόπων πρὸς ἀλλήλους, καὶ τῇ τοῦ σχήματος ὡς μάλιστα ἐγγίστῃ ὁμοιότητι, καὶ τῷ τρόπῳ τῆς καταγραφῆς, μέχρι τοσούτων ἡμῖν ὑποτετυπώσθω. Ἀρξόμεθα δ' ἐντεῦθεν τῆς κατὰ μέρος ὑφηγήσεως, ἐκεῖνο προλαβόντες· ὅτι τὰς τῶν τετριμμένων τόπων μοιρογραφίας μήκους τε καὶ πλάτους, ἐγγυτάτω τῆς ἀληθείας ἔχειν νομιστέον· διὰ τὸ συνεχὲς, καὶ ὡς ἐπί-

παν

παρ' ὁμολογούμενον τῶν παραδόσεων. τῶν δὲ μὴ τοῦτον τὸν τρόπον ἐφοδευθέντων ἕνεκεν τοῦ σπανίου καὶ ἀδιαβεβαιώτου τῆς ἱστορίας ὁλοσχερέστερον ἐπιλελογίσθαι κατὰ συνεγγισμὸν τῶν πρὸς τὸ ἀξιοπιστότερον εἰλημμένων θέσεων, ἢ σχηματισμῶν. ἵνα μηδὲν ἡμῖν τῶν ἐνταχθησομένων εἰς συμπλήρωσιν τῆς ὅλης οἰκουμένης, ἀόριστον ἔχῃ τὸν τρόπον. διὸ καὶ τὰς παραθέσεις τῶν μοιρῶν ἐφ' ἑκάστου τοῖς ἐκτὸς μέρεσι τῶν σελιδίων παρεθήκαμεν, κανονίων τρόπον. προτάσσοντες μέν τοι τὰς τοῦ μήκους, τὰς τοῦ πλάτους. ὅπως ἐάν τινες ἐμπίπτωσι διορθώσεις ἀπὸ τῆς πλείονος ἱστορίας, ἐνῇ ἐν τοῖς ἐχομένοις διαλείμμασι τῶν σελιδίων, ποιεῖσθαι τὰς παραθέσεις αὐτῶν. προειλόμεθα δὲ τάξιν τοῦ περὶ τὴν καταγραφὴν εὐχρήστου πανταχῇ ποιούμενοι πρόνοιαν· τουτέστι καθ' ἣν ἐπὶ δεξιὰ ποιησόμεθα τὰς μεταβάσεις, ἀπὸ τῶν ἤδη κατατεταγμένων ἐπὶ τὰ μηδέ πω, τῆς χειρὸς ἐκλαμβανομένης. τοῦτο δὲ γένοιτ' ἄν, εἰ γράφοιτο τά τε βορειότερα πρότερα τῶν νοτιωτέρων, καὶ τὰ δυσμικώτερα τῶν ἀπηλιωτικωτέρων. ὅτι πρὸς τὰς τῶν ἐγγραφόντων ἢ ἐντυγχανόντων ὄψεις, ἄνω μὲν ἡμῖν ὑπόκειται τὰ βορειότερα, δεξιὰ δὲ τὰ ἀπηλιωτικώτερα τῆς οἰκουμένης, ἐπί τε τῆς σφαίρας

καὶ τοῦ πίνακος. διόπερ τὰ μὲν κατὰ τὴν εὐρώπην προτάξομεν χωρίζοντες αὐτὴν καὶ ἡμεῖς. πρὸς μὲν τὴν λιβύην, τῷ ἡρακλείῳ πορθμῷ. πρὸς δὲ τὴν ἀσίαν, μετὰ τὰ μεταξὺ πελάγη, καὶ τὴν μαιῶτιν λίμνην, τῷ τε τανάϊδι ποταμῷ, καὶ τῷ ἀπὸ τούτου πρὸς τὴν ἄγνωστον γῆν, μεσημβρινῷ. τούτοις δὲ ἐφεξῆς τὰ περὶ τὴν λιβύην, χωρίζοντες καὶ ταύτην ἀπὸ τῆς ἀσίας μετὰ τὰς θαλάσσας τὰς ἀπὸ τοῦ περὶ τὸ πράσον ἀκρωτήριον τῆς αἰθιοπίας, μέχρι τοῦ ἀραβίου κόλπου, καὶ τοῦ διὰ τοῦ καθ' ἡρώων πόλιν μυχοῦ, μέχρι τοῦ καθ' ἡμᾶς θαλάσσης ἰσθμοῦ, διορίζοντι τὴν αἴγυπτον ἀπὸ τῆς ἀραβίας καὶ τῆς ἰουδαίας. ἵνα μὴ τὴν διασπῶμεν τὴν αἴγυπτον τῷ νείλῳ ποιούμενοι τὸν μερισμὸν, καὶ ὅτι βέλτιον πελάγεσιν ὅταν ἐνῇ, καὶ μὴ ποταμοῖς, χωρίζειν τὰς ἠπείρους. τελευταῖα δὲ τὰ περὶ τὴν ἀσίαν ὑπογράψομεν τῇ αὐτῇ ἐχόμενοι προθέσεως, καὶ καθ' ἑκάστην τῶν ἠπείρων ἐπὶ τῶν μερῶν αὐτῆς πρὸς ὅλην τὴν γῆν, καὶ πρὸς τὴν σύμπασαν οἰκουμένην ἐπ' αὐτῶν, τουτέστι πάλιν τὰς βορειοτέρας καὶ δυσμικωτέρας προαπογραφόμενοι τῶν χωρῶν, καὶ τῶν παρακειμένων αὐταῖς θαλασσῶν καὶ νήσων μετὰ τῶν καθ' ἕκαστον εἶδος ἀξιολογωτέρων. διακρινοῦμεν δὲ καὶ τὰ τοιαῦτα μέρη ταῖς τῶν σατραπειῶν ἢ ἐπαρχιῶν περιγραφαῖς ποιούμενοι τὴν ὑφήγησιν κατὰ τὴν ἐξ ἀρχῆς ἐπαγ-

γελίαν,

γελίαν μέχρι μόνου τοῦ πρὸς τὴν τοπικὴν κατανόησίν τε καὶ σύνταξιν χρησίμου, παραιτησάμενοι τὸ πολύχουν τῶν περὶ τὰς ἰδιοτροπίας τῶν ἐθνῶν ἱστορηθὲν, πλὴν, εἰ μή που τῶν καθωμιλημένων συντόμου τε καὶ ἀξιοχρέου δέοιτο παρασημασίας. ἔτι δ᾽ ὁ τρίτος τῆς ἐκθέσεως τρόπος ἐμποιήσει τοῖς βουλομένοις καὶ κατὰ πίνακας ἀπογράφεσθαι τὰ μέρη τῆς οἰκουμένης, ἀνὰ μίαν, ἢ καὶ πλείους ἐπαρχίας καὶ σατραπείας, ὡς ἂν ἐφαρμόζωσι ταῖς συμμετρίαις τῶν πινάκων, μετὰ τοῦ προσήκοντος λόγου τε καὶ σχηματισμοῦ τῶν ὑφ᾽ ἑκάστου πίνακος περιλαμβανομένων πρὸς ἄλληλα κατὰ τὸν αὐτὸν τρόπον τῆς συντάξεως γινομένης. ἀλλὰ τούτων δὲ, οὐδὲ διοίσει τινὶ ἀξιολόγῳ, κἂν παραλλήλοις χρησώμεθα ταῖς μεσημβριναῖς γραμμαῖς, εὐθείαις δὲ ταῖς τῶν παραλλήλων, ἐὰν μόνον λόγον προσλαμβάνῃ τὰ μοιριαῖα διαστήματα τῶν μεσημβρινῶν πρὸς τὰ τῶν παραλλήλων, ὃν ὁ μέγιστος ἔχει κύκλος, πρὸς τὸν μέσον ἐσόμενον τούτου τοῦ πίνακος παράλληλον. προδιωρισμένων δὴ καὶ τούτων, ἀρκτέον τῆς κατὰ μέρος ἐκθέσεως ἐντεῦθεν.

Ἰουερνία νῆσος βρεττανική	ια		νη	∠′
Ἀλουίωνος νῆσος βρεττανική	η		νδ	
Ἱσπανία βαιτική	ογ		λη	γ′
Ἱσπανία λουσιτανία	η		λθ	∠′
Ἱσπανία ταρρακωνησία	ια		μα	
Γαλλία ἀκουιτανία	ιη		μγ	∠′
Γαλλία λουγδουνησία	νγ		μη	
Γαλλία βελγική	κς		μζ	
Γαλλία ναρβωνησία	κα		μδ	∠′
Γερμανία μεγάλη	λδ		να	
Ραιτία, καὶ βινδελικία	λα	∠′	μς	γ′
Νωρικόν	λζ		μς	
Παννονία ἡ ἄνω	λθ	∠′	μζ	

ΕΥΡΩΠΗΣ

ΙΟΥΕΡΝΙΑΣ ΝΗΣΟΥ ΒΡΕΤΑΝΝΙΚΗΣ ΘΕΣΙΣ.

Ἀρκτικῆς πλευρᾶς περιγραφή, ἧς ὑπέρκειται ὠκεανὸς ὑπερβόρειος.

Βόρειον ἄκρον μοί	ια		ξα	
Οὐεννίκνιον ἄκρον	ια		ξα	γ′
Οὐιδούα ποτ. ἐκβολαί	ιγ		ξα	
Ἀργίτα ποτ. ἐκβολαί	ιδ	∠′	ξα	∠′

ῥοβό

ῥοβόγδιον ἄκρον	ιϛ	γ'	ξα	∠'

Παροικοῦσι δὲ τὴν πλευρὰν, ἀπὸ μὲν δυσμῶν, οὐεννίκνιοι. εἶτα ἐφεξῆς καὶ πρὸς ἀνατολὰς, ῥοβόγδιοι.
Δυτικῆς πλευρᾶς περιγραφὴ, ἧ παράκειται Δυϊκὸς ὠκεανός. μετὰ τὸ βόρειον ἄκρον, ὅ ἐστιν ια ξα

Ῥαουίου ποταμοῦ ἐκβολαὶ	ια	γ'	ξ	γο'
ναγνατα πόλις ἐπίσημος	ια	δ'	ξ	δ'
λιβνίου ποταμοῦ ἐκβολαί	ι	∠'	ξ	
αὐσόβα ποταμοῦ ἐκβολαί	ι	∠'	νθ	∠'
σηνοῦ ποταμοῦ ἐκβολαί	θ	∠'	νθ	∠'
δοῦρ ποταμοῦ ἐκβολαί	θ	γο'	νη	γο'
ἰέρνου ποταμοῦ ἐκβολαί	η		νη	
νότιον ἄκρον	ζ	γο'	νζ	∠'δ'

Παροικοῦσι δὲ τὴν πλευρὰν μετὰ τοὺς οὐεννικνίους, ἐρδῖνοι. ὑφ᾽ οὓς, ναγνᾶται. εἶτα, αὐτεινοί. εἶτα, γαγγανοί. ὑφ᾽ οὓς, οὐελίβοροι. Τῆς ἐφεξῆς μεσημβρινῆς πλευρᾶς περιγραφὴ, ἧ παράκειται ὠκεανὸς οὐεργίνιος. μετὰ τὸ νότιον ἄκρον, ὅ ἐστιν. ζ γο' νζ ∠'δ'

Δαβρώνα ποταμοῦ ἐκβολαί	ια	δ'	νζ	
βίργου ποταμοῦ ἐκβολαί	ιβ	∠'	νζ	∠'
ἱερὸν ἄκρον	ιδ		νζ	∠'

Παροικοῦσι δὲ τὴν πλευρὰν μετὰ τοὺς οὐελλαβόρους, οὐτόρνοι. ὑπὲρ οὓς, οὐσδίαι, καὶ ἀνατολικώτεροι, βρίγαντες. Ἀνατολῆς πλευρᾶς περιγραφὴ, ἧ παράκειται ὠκεανὸς καλούμενος, ἰουέρνιος. μετὰ τὸ ἱερὸν ἄκρον, ὅ ἐστι ιδ νζ ∠'

μοδόνου

μοδόνου ποταμοῦ ἐκβολαί	ιγ	∫ό	νη	∫ό
μαναπία πόλις	ιγ	∠'	νη	∫ό
ὀβόκα ποτ. ἐκβολαί	ιγ	ς'	νθ	
ἔβλανα πόλις	ιδ		νθ	∠'
βουουίνδα ποτ. ἐκβολαί	ιδ	∫ό	νθ	∫ό
ἰσάμνιον ἄκρον	ιε		ξ	
οὐινδέριος ποτ. ἐκβολαί	ιε		ξ	δ'
λογία ποτ. ἐκβολαί	ιε	γ'	ξ	∫ό

μεθ' ἃς τὸ ῥοβόγδιον ἄκρον

Παροικοῦσι δὲ τὴν πλευρὰν ταύτην μετὰ τοὺς ῥοβογδίους, Δαρίνιοι. ὑφ' οὓς, οὐολουντίοι. εἶτα, βλανίοι. εἶτα, καύκοι. ὑφ' οὓς, μανάπιοι. εἶτα, κοριόνδοι, ὑπὸ τοὺς βρίγαντας.

Πόλεις δὲ εἰσὶ μεσόγειοι,

ῥιγία	ιγ		ξ	γ'
ῥαίβα	ια		νθ	∠' δ'
λάβηρος	ιγ		νθ	δ'
μακόλικον	ια	∠'	νη	∫ό
ἑτέρα ῥιγία	ια		νθ	∠'
δούνον	ια	∠'	νη	∠' δ'
ἰουερνίς	ια		νη	ς'

Ὑπόκεινται δὲ νῆσοι τῇ ἰουερνίᾳ. αἵ τε καλούμεναι ἔβουδαι, ε τὸν ἀριθμόν. ὧν ἡ μὲν δυτικωτέρα καλεῖται, ἔβουδα ιε ξα

ἡ δὲ ἑξῆς αὐτῶν πρὸς ἀνατολὰς ὁμοίως ἔβουδα ιε ∫ό ξα

εἶτα

εἶτα ῥικίνα	ιζ		ξβ	
εἶτα μαλεός	ιζ	∠'	ξβ	ς'
εἶτα ἐπίδιον	ιη	∠'	ξβ	

Καὶ ἀπ' ἀνατολῶν τῆς ἰουερνίας εἰσὶν αἳ δὲ νῆσοι,

μοναοίδα	ιζ	γο'	ξα	∠'
μόνα νῆσος	ιε		νζ	γο'
ἔδρου ἔρημος	ιε		νθ	∠'
λίμνου ἔρημος	ιε		νθ	

ΑΛΟΥΙΩΝΟΣ ΝΗΣΟΥ
ΒΡΕΤΤΑΝΙΚΗΣ ΘΕΣΙΣ.

Ἀρκτικῆς πλευρᾶς περιγραφή, ἧς ὑπόκειται ὠκεανὸς καλούμενος δουηκαληδόνιος.

Νοουάντων χερσόνησος καὶ ὁμώνυμον ἄ-

κρον	κα		ξα	γο'
ῥεριγόνιος κόλπος	κ	∠'	ξ	∠'γ'
ουιδόταρα κόλπος	κα	γ'	ξ	∠'
κλῶτα εἴσχυσις	κβ	δ'	νθ	γο'
λελαννόνιος κόλπος	κδ		ξ	
ἐπίδιον ἄκρον	κγ		ξ	γο'
λόγγου ἐκβολαί	κδ		ξ	γο'
ἴτυος ἐκβολαί	κζ		ξ	γο'
γὰρ κολοβοί, καὶ πλατεῖς, καὶ δασεῖς, καὶ πλατυπρόσωποι. λευκοὶ μέντοι τὰς χρόας. ὑπὲρ δὲ τὴν Κιῤῥαδίαν, ἐν ᾗ φασι γίγνεσθαι τὸ κάλλισον μαλάβαθρον, παροικοῦσι μὲν τοῦ μαιάνδρου ὄρους, ζαμῖραι ἀνθρωποφάγοι. Τῆς δὲ ἀργυρᾶς χώρας, ἐν ᾗ πλεῖστα λέγεται εἶναι μέταλλα ἀσήμου, ὑπόκειται πλησιάζουσα τοῖς βησυγγήταις ἡ χρυσῆ χώρα, καὶ αὕτη πλεῖστα μέταλλα ἔχουσα χρυσίου. καὶ τῶν κατανεμομένων αὐτὴν ὁμοίως λευκοχρόας τε καὶ Δασεῖς, καὶ κολοβοὺς, καὶ σιμούς. Πάλιν δὲ μεταξὺ τοῦ βηπύῤῥου ὄρους, καὶ τῶν δοβάσων ὀρέων, τὰ μὲν ἀρκτικώτατα κατέχουσιν αἰναῖχαι. ὑπὸ δὲ τούτους ἰνδαπραθαι. μεθ' οὓς ἰβηρίγγαι. εἶτα λαβᾶνσαι, καὶ μέχρι τοῦ μαιάνδρου ναγγαλόγαι, ὃ σημαίνει γυμνῶν κόσμος. καὶ μεταξὺ τῶν Δοβάσων ὀρῶν, καὶ τοῦ πρὸς τοῖς σίναις ὁρίου ἀρκτικώτατοι, κάκοβαι. καὶ ὑπὸ τούτους βασανάραι. εἶτα ἡ χαλκῖτις χώρα, ἐν ᾗ πλεῖστα μέταλλα χαλκοῦ. ὑπὸ δὲ ταύτην μέχρι τοῦ μεγάλου κόλπου, κοδοῦται, καὶ βᾶραι. μεθ' οὓς ἰνδοί. εἶτα δοαῖναι, παρὰ τὸν ὁμώνυμον ποταμόν. καὶ μετὰ τούτους ὀρεινὴ συνάπτουσα τῇ τῶν λῃστῶν χώρᾳ, τίγρεις ἔχουσα καὶ ἐλέφαντας. αὐτοὺς δὲ τοὺς τὴν λῃστῶν χώραν κατανεμομένους, θηριώδεις τε εἶναι λέγουσι, καὶ ἐν σπηλαίοις οἰκοῦντας, καὶ τὸ δέρμα ἔχοντας παραπλήσιον ἵππων ποταμίων, ὡς μὴ διακόπτεσθαι βέλεσιν.

Πόλεις

Πόλεις δὲ καὶ κῶμαι τούτου τοῦ τμήματος ὀνομάζονται μεσόγειοι, μετὰ τὰς παρὰ τὸν γάγγην ποταμὸν ἐκτιθειμένας, αἵδε

λάμπουρα	ρμη ∠'	λγ γ'
καυόγιζα	ρμϛ	λβ ϛ'
κασίδια	ρμϛ	λα ϛ'
ἐλδαίνα	ρνα	λα
ἀστακαμάρα	ρνε	λα ∠'
ἀρχινάρα	ρξϛ	λα
ὀραθηναί	ρο	λγ γ'
σουαννάγουρα	ρμε ∠'	κθ ∠'
σταγώδα	ρνε γ'	κη γ'
ἀκίνα	ρξα	κθ
σταλάθα	ρξε γ'	κθ
Ῥανδαμαρκότα, ἐν ᾗ πόλεις		
νάρδος	ροα	κη
ἀθλιμάγουρον	ρμϛ γ'	κζ
μανίαινα	ρμζ δ'	κδ γ'
τωσάλη μητρόπολις	ρν	κϛ ∠' γ'
ἀλοσάγγα	ρνα	κδ δ'
ἀδεισάγα	ρνθ ∠'	κϛ
κιμάρα	ρο	κϛ δ'
παρίσαρα	ρνθ	κδ
Τούγμα μητρόπολις	ρνβ ∠'	κδ
ἀφειστάβιον	ρνη ∠'	κβ ∠'
προσινάρα	ρξβ δ'	κα γ'

παν

πανδάσσα	ρξε	κγ γ'
σιπληβηείς	ρο	κγ δ'
Τρίγλυπτον βασίλειον	ρνΔ	ιζ

ἐν ταύτῃ ἀλεκτρυόνες λέγονται εἶν πωγωνίαι, καὶ κόρακες καὶ ψιττακοὶ λευκοί.

λαριαγάρα	ρξθ ∠'	ιη δ'
ῥιγγίβηλ	ρξϛ	ιη
ἀγειμοῦθα	ρο γ'	ιθ γ'
τόμαρα	ρο	ιη
δασάνα	ρξε	ιε γ'
Μαρεοῦρα μητρόπολις	ρνη	ιβ ∠'
λασύππα	ρξΔ ∠'	ιη ∠'
βαρενάθρα	ρξΔ ∠'	ιβ ∠' γ'

Καὶ ἐν τῇ χρυσῇ χερσονήσῳ

βαλόνκα	ρξθ	α γ'
κοκκονάγαρα	ρξ	θ
θάρρα	ρξγ δ'	ο γ'
παλάνδα	ρξα δ' νότου α	γ'

Νῆσοι δὲ φέρονται κατὰ τὸ ἐκκείμενον τῆς ἰνδικῆς τμήματος, αἵδε

βαζακάτα	ρμΔ ∠'	θ ∠'
σαλίνη	ρμζ	θ γ'

ἐν ταύτῃ κόχλον τινὲς πολὺ γίνεσθαι φασί. τοὺς δὲ κατανεμομένους γυμνοὺς διατελεῖν, καὶ καλεῖσθαι ἀγιννάτας. εἰσὶ δὲ νῆσοι τρεῖς ἀνθρωποφάγων. ὧν τὸ μεταξὺ ἐπέχει μοί ρνθ ί νότου η γ'

ἀγαθοῦ

ἀγαθοῦ δαίμονος ρμε Δ δ'

βαρῦσαι πέντε, ἐν αἷς ἀνθρωποφάγους εἶναι τοὺς καπανεμομένους, τὸ δὲ μεταξὺ τῶν νήσων ἐπέχει μοίρας ρνα ς νότ. ο γ'

σαβαδεῖβαι νῆσοι τρεῖς ἀνθρωποφάγων. ὧν τὸ μεταξὺ ἐπέχει μοί ρξ νότου η ∠'

ἰαβαδίου. ὃ σημαίνει κριθῆς νῆσος. εὐφορωτάτη δὲ λέγεται ἡ νῆσος εἶναι καὶ ἔτι πλεῖστον χρυσὸν ποιεῖν. ἔχειν τε μητρόπολιν, ὄνομα ἀργυρῆν, ἐπὶ τοῖς δυσμικοῖς πέρασιν. αὕτη μὲν οὖν ἐπέχει μοίρας ρξζ νότου η ∠'

τὸ δὲ ἑῷον τῆς νήσου πέρας ρξθ νότου η ς'

Σατύρων νῆσοι, ὧν τὸ μεταξὺ μοῖραι ροα νότου ς ς'

ταύτας οἱ κατέχοντες, οὐρὰς ἔχειν λέγονται, οἵας διαγράφουσι τὰς τῶν σατύρων. φέρονται δὲ καὶ ἄλλαι συνεχεῖς δέκα. ἐν αἷς φασι τὰ σιδήρους ἔχοντα ἥλους, πλοῖα κατέχεσθαι, μή πως τῆς ἡρακλείας λίθου περὶ αὐτὰς γεννωμένης. καὶ διὰ τοῦτο ἐπιούροις ναυπηγεῖσθαι. κατέχειν τε καὶ αὐτὰς ἀνθρωποφάγους, καλουμένους μανιόλας. καὶ τούτων δὲ τὸ μεταξὺ ἐπέχει μοί ρμ νότου κ

ΣΙΝΩΝ
ΘΕΣΙΣ

Οἱ σῖναι περιορίζονται, ἀπὸ μὲν ἄρκτων τῷ ἐκτεθειμένῳ μέρει τῆς σηρικῆς, ἀπὸ δὲ ἀνατολῶν καὶ μεσημβρίας ἀγνώστῳ γῇ. ἀπὸ δὲ δύσεως τῇ ἐκτὸς γάγγου ἰνδικῇ, κατὰ τὴν διωρισμένην, μέχρι τοῦ μεγάλου κόλπου γραμμὴν, καὶ αὐτῷ τῷ μεγάλῳ κόλπῳ, καὶ τοῖς ἐφεξῆς αὐτῷ κειμένοις, τῷ τε καλουμένῳ θηριώδει, καὶ τῷ τῶν σινῶν, ὃν περιοικοῦσιν ἰχθυοφάγοι αἰθίοπες, κατὰ περιγραφὴν τοιαύτην.

Μετὰ τὸ πρὸς τῇ ἰνδικῇ τοῦ κόλπου ὅριον,

Ἀσπίθρα ποτ. ἐκβολαί	ρε	∠′	ιϛ	

αἱ πηγαὶ τοῦ ποτ. ἀπὸ τῶν ἰωθινῶν τοῦ σημανθινοῦ·

ὄρους μερῶν	ροθ		ιϛ	
βράμμα πόλις	ροζ		η	∠′
ἀμβάστου ποτ. ἐκβολαί	ροζ		ι	
αἱ πηγαὶ τοῦ ποτ.	ροθ		ιε	
σένου ποτ. ἐκβολαί	ροϛ	γ′	ϛ	∠′
τὸ νότιον ἄκρον	ροϛ		δ	
τοῦ θηριώδους κόλπου ὁ μυχός	ροϛ		α	
σατύρων ἄκρον	ροε		ἰσημερινός	

Καὶ ἐν τῷ τῶν σινῶν κόλπῳ, περιοικοῦσιν ἰχθυοφάγοι αἰθίοπες.

κοτιάρις ποτ. ἐκβολαί	ροζ	νότου	ζ

αἱ πηγαὶ

αἱ πηγαὶ τοῦ τοῦ ρπ νότου ια
καθὸ συμβάλλει τῷ σηρῷ ποταμῷ ροθ ἰσημερινός
Κατίγαρα ὅρμος σινῶν ροζ νότου η ∠'

Κατέχουσι δὲ τῆς χώρας, τὰ μὲν ἀρκτικώτατα σημαθηνοί, ὑπὸ τὸ ὁμώνυμον ὄρος. ὑπὸ δὲ τούτους καὶ τὸ ὄρος ἀκάδραι, μεθ᾽ οὓς ἀσπίθραι. εἶτα παρὰ τὸν μέγαν κόλπον ἀμβᾶται, καὶ περὶ τοὺς ἐφεξῆς κόλπους, ἰχθυοφάγοι σῖναι.

Πόλεις δὲ τῶν σινῶν ὀνομάζονται μεσόγειοι, αἵδε

ἀκάδρα ροη γ' κδ δ'
Ἀσπίθρα ρϛ ∠' ιϛ δ'
κοκκονάγαρα ροθ νότου ια
σαράγα ρπ βορ. δ
καὶ ἡ μητρόπολις, θῖναι ρπ βορ. γ

οὔτε μέντοι χαλκᾶ τείχη φασὶν αὐτὴν ἔχειν, οὔτε ἄλλό τι ἀξιόλογον. περιέχεται δὲ ἀπὸ τῶν κατιγαρῶν πρὸς τὰς δυσμὰς ἀγνώστῳ γῇ, περιλαμβανούσῃ τὴν πρασώδη θάλασσαν, μέχρι τοῦ πράσου ἀκρωτηρίου, ἀφ᾽ οὗ ἄρχεται ὡς εἴρηται, ὁ τῆς βαρβαρικῆς θαλάσσης κόλπος, συνάπτων τὴν γῆν, τῷ τε ῥαπτῷ ἀκρωτηρίῳ, καὶ νοτίοις μέρεσι τῆς ἀζανίας.

ΤΑΠΡΟΒΑΝΗΣ
ΝΗΣΟΥ ΘΕΣΙΣ

Τῷ δὲ κώρυ ἀκρωτηρίῳ τῷ ἐν τῇ ἰνδικῇ, ἀντίκειται τὸ τῆς ταπροβάνης νήσου ἄκρον, ὅ τις ἐκαλεῖτο πάλαι σιμουνδοῦ. νῦν δὲ σαλίκη. καὶ οἱ κατέχοντες αὐτὴν κοινῶς, σάλαι, μαλλοῖς γυναικείοις εἰς ἅπαν ἀναδεδεμένοι. γίνεται τε παρ' αὐτοῖς ὄρυζα, μέλι, ζιγγίβερι, βήρυλλος, ὑάκινθος, μέταλλα παντοῖα. γεννᾷ δὲ καὶ ἐλέφαντας καὶ τίγρεις.

Τὸ μὲν οὖν εἰρημένον ἀκρωτήριον, καὶ ἀντικείμενον τῷ κώρυ ἐπέχει μοί[ρας] ρκϛ ιβ ∠'

καὶ καλεῖται βόρειον ἄκρον.

Ἡ δὲ ἄλλη περιγραφὴ, ἔχει τὸν τρόπον τοῦτον.

Μετὰ τὸ βόρειον ἄκρον, ὃ ἐπέχει μοί-

ρας	ρκϛ		ιβ	∠'
ὀγάλιβα ἄκρα	ρκδ		ια	∠'
μάργανα πόλις	ρκϛ	∠'	ι	γ'
ἰωγάνα πόλις	ρκγ	γ'	η	∠'
ἀνδρασιμουνδοῦ ἄκρον	ρκ		ζ	∠' δ'
σοάνα ποταμοῦ ἐκβολαί	ρκβ	γ'	ϛ	δ'
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρκϛ		η	
σινδοκάνδα πόλις	ρκβ		ε	γ'
πριαπίδος λιμήν	ρκβ		ϛ	γ'
ἀνουβίγγαρα	ρκα		δ	γ'
διὸς ἄκρα	ρκα		δ	

πα

πρασώδης κόλπος	ρκα	α	
νουβαρτα πόλις	ρκα γ'	ισημερινός	
ἀζανοῦ τοῦ ἐκβολαί	ρκς	νότου α	
αἱ πηγαὶ τοῦ τοῦ	ρκς	βορ. α	
ὄδωκα πόλις	ρκς	νότου β	
ὀρνέων ἄκρα	ρκδ	νότου β	∠'
δαίνα πόλις ἱερὰ σελήνης	ρκε	νότου β	
κόρκοβα πόλις	ρκβ	νότου γ	
διονύσου ἄκρον	ρλ	νότου α	∠'
κνταῖον ἄκρον	ρλ	νότου	∠'
βαραδηου τοῦ ἐκβολαί	ρλα	βορ. α	
αἱ πηγαὶ τοῦ τοῦ	ρκη	βορ. β	
κωμανα πόλις	ρλα	νότου γ	
μαρδουλαμνη	ρλα	νότου β	γ'
ἀβαραθα πόλις	ρλα	νότου γ	δ'
ἡλίου λιμήν	ρλ	δ	
αἰγιαλὸς μέγας	ρλ	δ	γ'
προκουρι πόλις	ρλα	ε	γ'
ζιζαλλα λιμήν	ρλ γ'	ς	ς'
ὀξεῖα ἄκρα	ρλ	ζ	ς'
γαγγου τοῦ ἐκβολαί	ρκθ γ'	ζ	γ'
αἱ πηγαὶ τοῦ τοῦ	ρλζ	δ	
σπαταίνα λιμήν	ρκθ	η	
Ναγαδιβα πόλις	ρκθ	η	∠'
πάσι κόλπος.	ρκη ∠'	θ	
αὐσβίνγαρα πόλις	ρκη γ'	θ	γ'

μοδούτου ἐμπόριον	ρκη̄	ῑα
φάσιδος ποταμοῦ ἐκβολαί	ρκζ̄	ῑα γ'
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρκς̄	η̄
Ταλακώρι ἐμπόριον	ρκς̄ γ'	ῑα γ'
μεθ' ὅ, τὸ βόρειον ἄκρον		

Ὄρη δέ ἐστιν ἀξιόλογα τῆς νήσου, τά τε καλούμενα γαλίβα. ἐξ ὧν ῥέουσιν, ὅ τε φᾶσις, καὶ ὁ γάγγης. καὶ τὸ καλούμενον μαλέα, ἐξ οὗ ῥέουσιν, ὅ τε σοάνας καὶ ὁ ἀζανὸς καὶ ὁ βαράκης. καὶ εἰσὶν ὑπὸ τοῦτο τὸ ὄρος μέχρι θαλάσσης ἐλεφάντων νομαί.

Κατέχουσι δὲ τῆς νήσου τὰ μὲν ἀρκτικώτατα, γάλειβοι καὶ μουδοῦτοι. ὑπὸ δὲ τούτους, ἀνουρόγραμμοι, καὶ ναγαδείβιοι. καὶ ὑπὸ μὲν τοὺς ἀνουρογράμμους, ὄανοι. ὑπὸ δὲ τοὺς ναγαδείβους, ἔμνοι. ἔτι δὲ ὑπὸ τούτους, σανδοκάνδαι μὲν τὰ πρὸς δυσμάς, καὶ ὑπ' αὐτοὺς μέχρι τῶν νομῶν τῶν ἐλεφάντων βουμασάνοι. ταράχοι δὲ τὰ πρὸς ἀνατολάς. ὑφ' οὓς βωκανοί, καὶ διόρδουλοι, καὶ μεσημβρινώτατοι ῥοδαγανοὶ καὶ νάγειροι.

Πόλεις δέ εἰσιν ἐν τῇ νήσῳ μεσόγειοι, αἵδε

ἀνουρόγραμμον βασίλειον	ρκδ̄ ∠'	η̄ γ'
Ναάγραμμον μητρόπολις	ρκζ̄	ς̄ γ'
ἀδείσαμον	ρκ̄θ	ε̄
ποδούκη	ρκδ̄ γ'	γ̄ γ'
οὐλιπάδα	ρκς̄ γ'	ῡ γ'

ναγαδοῦμα

νακάδουμα	ρκη̄ ∠΄	ἰσημερινός	

Πρόκειται δὲ τῇ ταπροβάνῃ στίφος νήσων, ἅς φασιν εἶναι τὸν ἀριθμὸν ͵α τ̄ ο̄ η̄, ὧν μέν τοι τὰ ὀνόματα φέρεται εἰσὶν αἵδε,

ὀαγγαλία	ρκ̄	ια̅	γ΄
κάναθρα	ρκα̅ γ΄	ια̅	δ΄
αἰγιδίων	ριη̄	η̄	∠΄
ὀρνέων	ριθ	η̄	∠΄
μονάχη	ρις̄	Δ̄	δ΄
ἀμμίνη	ριζ̄	Δ̄	∠΄
κάρκος	ριη̄	νότου γ̄	
φιλικός	ρις̄	νότου γ̄	
εἰρήνη	ρκ̄	νότου α̅	
καλαιαδοῦα	ρκς̄	νότου ε̄	∠΄
ἀβράνα	ρκε̄	νότου Δ̄	γ΄
βάσσα	ρκς̄	νότου ς̄	∠΄
βαλάκα	ρκ̄θ	νότου ε̄	∠΄
ἀλάβα	ρλα̅	νότου Δ̄	
Γουμάρα	ρλγ̄	νότου α̅	γ΄
ζάβα	ρλε	ἰσημερινός	
βιζάλλα	ρλε̄	Δ̄	δ΄
ναγαδήβα	ρλε̄	η̄	∠΄
σουσουάρα	ρλε̄	ια̅	δ΄

Τὸ δυτικὸν

Τὸ Δυτικώτατον τῆς νήσου

μοί	ροζ	α
τὸ νοτιώτατον, μοί	ς	ς νότ. α
τὸ ἀνατολικώτατον, μοί	ις	α
τὸ βορειότατον, μοί	ιγ	βόρ. α

Η μὲν οὖν τῶν τῆς οἰκουμένης ἐπαρχιῶν τε καὶ σατραπιῶν κατὰ μέρος ὑφήγησις, τοῦτον ἡμῖν ἐφωδεύσθω τὸν τρόπον. ἐπεὶ δὲ ὑπεδείξαμεν ἐν ἀρχῇ τῆς συντάξεως, πῶς ἂν καταγράφοιτο τὸ ἐγνωσμένον τῆς γῆς μέρος ἐπί τε σφαίρας, καὶ ἔτι εἰς ἐπίπεδον ἐπιφάνειαν, ὁμοίως τε καὶ συμμέτρως ὡς ἔνι μάλιστα τοῖς ἐπὶ τῆς στερεᾶς σφαίρας καταλαμβανομένοις· ἁρμόζει δὲ ταῖς τοιαύταις τῆς ὅλης οἰκουμένης ἐκθέσεσιν, ὑπογραφήν τινα κεφαλαιώδη παραθέσθαι πρὸς ἐπίδειξιν τῶν θεωρουμένων· γένοιτο ἂν καὶ αὕτη κατὰ τὸν προσήκοντα λόγον, εἰ οὕτως ἔχοι.

Υπογραφὴ

ΥΠΟΓΡΑΦΗ ΚΕΦΑΛΑΙΩΔΗΣ τοῦ τῆς οἰκουμένης πίνακος.

Τῆς καθ' ἡμᾶς οἰκουμένης ἐν ἠπείροις διῃρημένης τρισὶν, ἀπὸ τῶν ἀρχαιοτέρων κατὰ μέρος ἐπ' ἀκριβὲς ἱστορησάντων, ἀναγραφαῖς τε καταλελοιπότων τοῖς καθέκαστον ὡς ἐν ἱστορίᾳ, καὶ αὐτοὶ προσεπενοήσαμεν· τὰ μὲν ἑωρακότων, τὰ δὲ καὶ παρ' αὐτῶν ἀκριβῶς ἐκλαβόντων, πίνακος ὥσπερ τρόπον πάσης τῆς οἰκουμένης ἀποτυπῶσαι, ὡς ἂν μηδὲν τοῖς φιλομαθέσιν ἄπειρον ἢ τῶν κατὰ μέρος χρησίμων, μεθ' ἱστορίας ψυχὴν κοσμεῖν, καὶ διεγείρειν εἰς ὀξύνοιαν φυσικὴν δυνάμενον.

Τῆς γῆς τὸ κατὰ τὴν ἡμετέραν οἰκουμένην μέρος περιορίζεται, ἀπὸ μὲν ἀνατολῶν ἀγνώστῳ γῇ τῇ παρακειμένῃ τοῖς ἀνατολικοῖς ἔθνεσι τῆς μεγάλης ἀσίας, σίναις τε καὶ τοῖς ἐν τῇ σηρικῇ. Ἀπὸ δὲ μεσημβρίας ὁμοίως ἀγνώστῳ γῇ, τῇ περικλειούσῃ τὸ ἰνδικὸν πέλαγος, καὶ τῇ περιεχούσῃ τὴν ἀπὸ μεσημβρίας τῆς λιβύης αἰθιοπίαν ἀγίσυμβα χώραν καλουμένην. Ἀπὸ δὲ δυσμῶν, τῇ τε ἀγνώστῳ γῇ τῇ περιλαμβανούσῃ τὸν αἰθιοπικὸν κόλπον τῆς λιβύης, καὶ τῷ ἐφεξῆς δυτικῷ ὠκεανῷ, παρακειμένῳ δὲ τοῖς τῆς λιβύης καὶ τῆς εὐρώπης δυσμικωτάτοις μέρεσιν. Ἀπὸ ἄρκτων δὲ τῷ συνημμένῳ ὠκεανῷ, τῷ περιέχοντι

nn μὲν

μὲν τὰς βρεττανικὰς νήσους, καὶ τὰ βορειότατα τῆς εὐρώπης, καλουμένῳ δὲ δουηκαληδονίῳ τε καὶ σαρματικῷ. καὶ τῇ ἀγνώστῳ γῇ παρακειμένῃ τοῖς ἀρκτικωτάτοις χώραις τῆς μεγάλης ἀσίας, σαρματίᾳ καὶ σκυθίᾳ, καὶ σηρικῇ. Τῶν δὲ περιλαμβανομένων ὑπὸ τῆς οἰκουμένης θαλασσῶν, ἡ μὲν καθ' ἡμᾶς μετὰ τῶν συνημμένων αὐτῇ κόλπων, παρά τε τὸν ἀδρίαν κόλπον, καὶ τὸ αἰγαῖον πέλαγος, καὶ τὴν προποντίδα καὶ τὸν πόντον, καὶ τὴν μαιῶτιν λίμνην, ἀνεστόμωται πρὸς τὸν ὠκεανὸν διὰ μόνου τοῦ ἡρακλείου πορθμοῦ, χερσοννήσου δίκην ἰσθμὸν ὥσπερ εἰ προϊοῦσα τοῦ πελάγους τὸν πορθμόν. ἡ δὲ ὑρκανία, ἡ καὶ κασπία θάλασσα πάντοθεν ὑπὸ τῆς γῆς περικέκλεισται, νήσῳ κατὰ τὸ ἀντικείμενον παραπλησίως. ὁμοίως δὲ καὶ ἡ περὶ τὸ ἰνδικὸν πέλαγος πᾶσα μετὰ τῶν συνημμένων αὐτῇ κόλπων, παρά τε τὸν ἀράβιον κόλπον καὶ τὸν περσικόν, καὶ τὸν γαγγητικόν, καὶ τὸν ἰδίως καλούμενον μέγαν κόλπον, περιεχομένης καὶ ταύτης πάντοθεν ὑπὸ τῆς γῆς. διὸ καὶ τῶν τριῶν ἠπείρων, ἡ μὲν ἀσία συνάπτει, τῇ τε λιβύῃ, καὶ διὰ τοῦ κατὰ τὴν ἀραβίαν αὐχένος, ὃς καὶ χωρίζει τὴν καθ' ἡμᾶς θάλασσαν ἀπὸ τοῦ ἀραβικοῦ κόλπου, καὶ διὰ τῆς περιεχούσης τὸ ἰνδικὸν πέλαγος ἀγνώστου γῆς. καὶ τῇ εὐρώπῃ δὲ συνάπτει διὰ τοῦ μεταξὺ αὐχένος, τῆς τε μαιώτιδος λίμνης, καὶ τοῦ σαρματικοῦ ὠκεανοῦ, ἐπὶ τῆς διαβάσεως τοῦ ταναΐδος ποτ. ἡ δὲ λιβύη, τῆς εὐρώπης

ρώπης ἀπείργεται μόνῳ τῷ πορθμῷ. καθ' ἑαυτὴν μὲν,
μὴ συνάπτουσα μηδαμῶς, διὰ δὲ τῆς ἀσίας πάντως.
ἐπειδὴ καὶ αὐτὴ τούτων ἑκατέρᾳ συνάπτει, ἀντιπα-
ρήκουσα κατὰ ἀνατολὰς ἀμφοτέραις. καὶ ἔτι πρώτη
μὲν τῶν ἠπείρων μεγέθους ἕνεκεν ἐστὶν ἀσία, δευτέ-
ρα δὲ λιβύη, τρίτη δὲ εὐρώπη. ὁμοίως δὲ καὶ τῶν εἰ-
ρημένων ἐμπεριέχεσθαι τῇ γῇ θαλασσῶν, πρώτη
μέν ἐστι μεγέθει πάλιν, ἡ κατὰ τὸ ἰνδικὸν πέλαγος.
δευτέρα δὲ ἡ καθ' ἡμᾶς. τρίτη δὲ, ἡ ὑρκανία ἡ καὶ
κασπία. ἔτι δὲ, καὶ τῶν μὲν ἀξιολογωτέρων κόλπων, πρῶ-
τος μὲν καὶ μείζων ὁμοίως, ὁ γαγγητικός. δεύτερος
δὲ, ὁ περσικός. τρίτος δὲ, ὁ μέγας. τέταρτος δὲ, ὁ
ἀραβικός. πέμπτος δὲ, ὁ αἰθιοπικός. ἕκτος δὲ, ὁ τοῦ
πόντου. ἕβδομος δὲ, ὁ τοῦ αἰγαίου πελάγους. ὄγδοος δὲ,
ὁ τῆς μαιώτιδος λίμνης. ἔνατος δὲ, ὁ ἀδρίας. δέ-
κατος δὲ, ὁ τῆς προποντίδος. Τῶν δὲ ἀξιολογωτέρων
νήσων ἢ χερσονήσων, πρώτη μὲν, ταπροβάνη. δευ-
τέρα δὲ, τῶν βρεττανικῶν, ἡ ἀλουίωνος. τρίτη δὲ, ἡ χρυ-
σῆ χερσόνησος. τετάρτη δὲ, τῶν βρεττανικῶν, ἡ ἰου-
βερνία. πέμπτη δὲ, ἡ πελοπόννησος. ἕκτη δὲ, ἡ σικελία.
ἑβδόμη δὲ, ἡ σαρδώ. ὀγδόη δὲ, ἡ κύρνος. ἐννάτη δὲ, ἡ
κρήτη. δεκάτη δὲ, ἡ κύπρος. Ορίζει δὲ τὸ μὲν μεσημβρι-
νὸν τῆς ἐγνωσμένης γῆς πέρας παράλληλος ὁ νοτιώ-
τερος τοῦ ἰσημερινοῦ μοίραις ιϛ γ' ιβ'. ὅπου ἐστὶν ὁ μέγιστος
κύκλος τῶν ξ. ὅσαις μοίραις καὶ ὁ διὰ μερόης τοῦ ἰσημερινοῦ τυγ-
χάνει βορειότερος. τὸ δὲ ἀρκτικὸν πέρας, ὁρίζει ὁ παράλλη-

λ', ὁ βορειότερος τοῦ ἰσημερινοῦ μοίρας ξγ̄, γραφόμενος δὲ διὰ Θούλης τῆς νήσου. ὡς γίγνεσθαι τὸ ἐγνωσμένον αὐτῆς πλάτος, μοίρας μὲν οθ̄ γ' ιβ', ἢ καὶ ὅλων π̄. σταδίων δέ, τετρακισμυρίων ἔγγιστα. ὡς τῆς μὲν μιᾶς μοίρας πεντακοσίους περιεχούσης σταδίους, ὅπερ ἐκ τῶν ἀκριβεστέρων ἀναμετρήσεων κατελήφθη. τῆς δὲ ὅλης γῆς περίμετρον, μυριάδων ιη̄. Πάλιν δὲ καὶ τὸ μὲν ἀνατολικὸν πέρας τῆς ἐγνωσμένης γῆς, ὁρίζει μεσημβρινὸς ὁ γραφόμενος διὰ τῆς τῶν Σινῶν μητροπόλεως, ἀπέχων τοῦ διὰ Ἀλεξανδρείας γραφομένου πρὸς ἀνατολὰς ἐπὶ τοῦ ἰσημερινοῦ μοίρας ρῑθ ∠', ὀκτὼ δὲ ὥρας ἔγγιστα ἰσημερινάς. τὸ δὲ δυτικὸν πέρας ὁ γραφόμενος διὰ τῶν Μακάρων νήσων. ἀπέχων καὶ αὐτὸς τοῦ μὲν διὰ Ἀλεξανδρείας, μοίρας ξ ∠', τέσσαρας δὲ ὥρας ἰσημερινάς. τοῦ δ' ἀνατολικωτάτου, τὰς τοῦ ἡμικυκλίου μοίρας ρπ̄, καὶ ιβ̄ ὥρας ἰσημερινάς. ὥστε συνάγεσθαι τὸ ἐγνωσμένον αὐτῆς μῆκος σταδίων, ἐπὶ μὲν τοῦ κατὰ τὸν ἰσημερινὸν τμήματος, ἐννακισμυρίων. ἐπὶ δὲ τοῦ κατὰ τὸν νοτιώτατον αὐτῆς παράλληλον, μυριάδων ὀκτὼ ς τ̄λ γ' ἔγγιστα. ἐπεὶ δὲ τοῦ κατὰ τὸν βορειότατον, μυριάδων τεσσάρων. καὶ πάλιν ἐπὶ μὲν τοῦ διὰ τῆς Ῥόδου, ἐφ' οὗ μάλιστα γεγόνασιν αἱ ἀναμετρήσεις, ἀπέχοντος τοῦ ἰσημερινοῦ μοίρας λς̄, σταδίων μυριάδων ἑπτά, μ ω̄ ιβ' ἔγγιστα. ἐπὶ δὲ τοῦ διὰ Συήνης, ὃς ἀπέχει τοῦ ἰσημερινοῦ μοίρας κγ̄ ∠ γ',

μέσος

μέσος πως κείμενος τοῦ ὅλου πλάτους, μυριάδας ὀκτὼ καὶ τλϛ̄, κατὰ τὴν τῶν εἰρημένων παραλλήλων πρὸς τὸν ἰσημερινὸν ἀναλογίαν. καὶ γίνεσθαι τοῦ πλάτους τῆς οἰκουμένης μεῖζον τὸ μῆκος, ἐν μὲν τοῖς ἀρκτικωτάτοις κλίμασι, τοῦ πεντηκοστοῦ ἔγγιστα τοῦ πλάτους. ἐν δὲ τοῖς διὰ τῆς Ῥόδου τὸ ἥμισύ πως καὶ τρίτον. ἐν δὲ τοῖς ὑπὸ τὸν διὰ Συήνης, τοῦ ἴσου, καὶ ἔτι τοῦ ὀκτωκαιδεκάτου ἔγγιστα. ἐν δὲ τοῖς μεσημβρινωτάτοις μέρεσι τοῦ ἴσου, καὶ ἔτι τοῦ ἕκτου ἔγγιστα. ἐν δὲ τοῖς ὑπὸ τὸν ἰσημερινόν, τοῦ ἴσου, καὶ ἔτι τοῦ τετάρτου. τὸ δὲ μέγεθος τῆς μεγίστης ἡμέρας ἢ νυκτὸς, ἐν μὲν τῷ νοτιωτάτῳ τῶν εἰρημένων παραλλήλων ὡρῶν ἰσημερινῶν ιγ̄. ἐν δὲ τῷ διὰ Συήνης, ιγ ∠΄. ἐν δὲ τῷ διὰ τῆς Ῥοδίας, δεκατεσσάρων ϛ΄. ἐν δὲ τῷ βορειοτάτῳ, καὶ διὰ Θούλης κ. καὶ ἔτι τὴν τοῦ ὅλου πλάτους διαφορὰν, ἐννέα ποιεῖν ὥρας ἰσημερινάς.


Κρικωτῆς σφαίρας μετὰ τῆς οἰκουμένης καταγραφή.

Η Μὲν οὖν ὑπογραφὴ τῆς καθόλου διαθέσεως, μέχρι τῶν τοσούτων ἂν ἔχοι συμμέτρως. οὐκ ἄτοπον δὲ προσθεῖναι, πῶς ἂν τὸ φαινόμενον ἡμισφαίριον ἐν ᾧ ἡ οἰκουμένη καταγράφοιτο ἐν ἐπιπέδῳ, περιεχόμενον ὑπὸ σφαίρας κρικωτῆς. ἐπειδὴ πλεῖστοι μὲν ἐπικεχειρήκασι τῇ τοιαύτῃ δείξει, παραλογώτατα

δὲ φαίνονται ταύτῃ κεχρημένοι. προκείσθω δὴ κρι-
κωτὴν σφαῖραν ἐν ἐπιπέδῳ καταγράψαι μέρος ἐμ-
περιλαμβανομένην τῆς γῆς. ὡς τῆς ὄψεως θέσιν ἐχού-
σης, καθ' ἣν ἡ ἐπ' εὐθείας ἴσαι ταῖς κοιναῖς τομαῖς
τοῦ τε διὰ τῶν τροπικῶν σημείων μεσημβρινοῦ, ὑφ' ὧν
ὑποκείσεται καὶ ὁ τὸ μῆκος τῆς καθ' ἡμᾶς οἰκουμέ-
νης διχοτομῶν· καὶ τοῦ διὰ Συήνης ἐν τῇ γῇ γραφομέ-
νου παραλλήλου, δίχα καὶ αὐτοῦ τέμνοντος τῆς γῆς
τὸ πλάτος τῆς οἰκουμένης. οὕτω δὲ ἐχέτωσαν οἱ λό-
γοι, τῶν τε μεγεθῶν τῆς κρικωτῆς σφαίρας καὶ τῆς γῆς,
καὶ τοῦ τῆς ὄψεως ἀποστήματος, ὥστε ἐν τῷ μεταξὺ
διαστήματι, τοῦ τε κατὰ τὸν ἰσημερινὸν κρίκου καὶ τοῦ
κατὰ τὸν θερινὸν τροπικὸν, ὅλον ἐμφαίνεσθαι τὸ ἐγνωσ-
μένον μέρος τῆς γῆς. τοῦ νοτιωτέρου τῶν ἡμικυκλίων
τοῦ διὰ μέσου τῶν ζῳδίων κύκλου καθεστηκότος ὑπὸ
τὴν γῆν, ἵνα μὴ δ' ὑπὸ τούτου τις ἐπιπρόσθεσις γίνη-
ται τῆς οἰκουμένης πρὸς τῷ βορείῳ τιθεμένης ἡμι-
σφαιρίῳ. ὅτι μὲν οὖν τούτων ὑποκειμένων, οἱ μὲν εἰρη-
μένοι μεσημβρινοὶ, μιᾶς εὐθείας τῆς κατ' αὐτὸν ἄξονα
τηρήσουσι φαντασίαν, ἅτε τῆς ὄψεως ἐν τῷ δι' αὐτῶν
ἐπιπέδῳ πιπτούσης· ἔτι ὁ διὰ Συήνης παράλληλος
ὀρθὸς πρὸς ἐκείνην διὰ τὴν ὁμοίαν αἰτίαν· οἱ δὲ λοιποὶ
τῶν ἐνταττομένων κύκλων ἐπεστραμμένοι κατὰ τὰ κοῖ-
λα φανήσονται πρὸς τὰς εὐθείας· οἱ μὲν μεσημβρινοὶ,
πρὸς τὴν διὰ τῶν πόλων, οἱ δὲ παράλληλοι πρὸς τὴν
διὰ τῆς Συήνης, καὶ μᾶλλον οἱ πλεῖον αὐτῶν ἐφ' ἑκάτερα

διεστη-

διεστηκότες, αὐτόθεν ἐστὶ δῆλον. πῶς δ' ἂν μεθοδεύοι μέν τις καταγραφὴν ὁμοίαν ὡς ἔνι μάλιστα ταῖς ὀπτικαῖς διατυπώσεσι, πρόχειρον ἡμῖν ἔσται τόνδε τὸν τρόπον.



ἔστω ὁ διὰ τῶν ἰσημερινῶν σημείων ἐν τῇ κρικωτῇ σφαίρᾳ μεσημβρινός, ὁ α β γ δ, περὶ κέντρον τὸ ε, καὶ διάμετρον, τὴν α ε γ. τοῦ μὲν α, κατὰ τὸν βόρειον πόλον νοουμένου. τοῦ δὲ γ, κατὰ τὸν νότιον. ἀπειλήφθωσάν τε, αἱ μὲν β ζ καὶ δ η καὶ ϐ θ καὶ δ κ περιφέρειαι, ἐν ταῖς τῶν τροπικῶν ἀπὸ τοῦ ἰσημερινοῦ διαστάσεσιν. αἱ δὲ α λ καὶ α μ καὶ γ ν καὶ γ ξ, ἐν ταῖς ἀπὸ τῶν πόλων τοῦ ἀρκτικοῦ καὶ ἀνταρκτικοῦ. καὶ τεμνέτω ἡ τοῦ θερι-


νοῦ

νοῦ διάμετρος, τὴν α ε, κατὰ τὸ ο. ἐπεὶ τοίνυν τὸν διὰ σοήνης παράλληλον ἐν τῷ μεταξὺ τῶν ε ο, ἔδει τὴν θέσιν ἔχειν· λόγος δὲ, τῆς μὲν ἀπὸ τοῦ διὰ σοήνης ἐπὶ τὸν ἰσημερινὸν περιφερείας πρὸς τὸ τεταρτημόριον τῶν τεσσάρων ἔγγυς πρὸς τὰ ιε· τῆς δὲ ἡμισείας τῶν ε α πρὸς τὴν ε ο, ὁ τῶν αὐτῶν τεσσάρων ἔγγυς πρὸς τὰ τρία, ἐπίτριτος ἔσται. καὶ ἡ ε α τῆς ἐκ τοῦ κέντρου τῆς γῆς. ἀπειλήφθω δὲ ἡ ε π, τοιούτων τεσσάρων, οἵων ἐστὶ τεσσάρων ἡ ε α. καὶ κέντρῳ μὲν τῷ ε, διαστήματι δὲ τῷ ε π, γεγράφθω ὁ ἐν τῷ αὐτῷ ἐπιπέδῳ περιλαμβάνων τὴν γῆν κύκλος, ὁ π ρ. καὶ διαιρεθείσης τινὸς εὐθείας ἴσης τῇ ε π, εἰς τὰ ἑξήκοντα ἴσα τμήματα τοῦ ἑνὸς τεταρτημορίου, ἀπειλήφθω ἡ μὲν ε σ τμημάτων κγ ∠' γ'. ἡ δὲ ε τ τμημάτων ις γ' ιβ'. ἡ δὲ ε υ τῶν αὐτῶν ξγ. καὶ διήχθω ἡ φ σ χ, πρὸς τὴν ε π, ὀρθὴ πίπτουσα δηλονότι κατὰ τὸν διὰ σοήνης παράλληλον. ἔσται ἄρα τὸ μὲν τ, δι' οὗ γραφήσεται ὁ ἀφορίζων τὸ νότιον πέρας τῆς οἰκουμένης παράλληλος, καὶ ἀντικείμενος τῷ διὰ μερόης. τὸ δὲ υ, δι' οὗ γραφήσεται ὁ ἀφορίζων τὸ βόρειον πέρας παράλληλος, καὶ γραφόμενος διὰ θούλης. εἰλήφθω τι σημεῖον βραχεῖ νοτιώτερον τοῦ τ, ὡς τὸ ψ, καὶ ἐπεζεύχθω ἡ ψ δ, καὶ ἐκβληθεῖσαι αἱ σ χ, καὶ ψ δ, συμπιπτέτωσαν κατὰ τὸ ω. ἐὰν τοίνυν τούς τε ἐκκειμένους κύκλους νοῶμεν ἐν τῷ διὰ τῶν τροπικῶν

Id est, ρ ϖ circūferentia ad ρ α quadrantem, est sicut 4 ad 15 propemodū.

Locus hic totus quomodo sit restituēdus tradit Vernherus Nornberg. mathematic. cuius quia liber de hac re extat, noluimus exēplaris ueteris fidē in dubiū uocare, præsertim qa ne Vernher. qdē opē quā promittit præstitisse plane uidetur.

κῶν


β
φ
α
π
υ
ς
ι
τ
ψ
ρ
γ
χ
δ
ω
Ὄψις

κῶν σημείων καὶ τῶν πόλων ἐπιπέδῳ κατὰ τὴν ὄψιν ὑπὸ τοῦ ω διὰ τὰ ὑποκείμενα, αἱ μὲν ἀπὸ τοῦ ω διὰ τοῦ μ καὶ η καὶ δ καὶ κ καὶ ξ ἐκβαλλόμεναι ἐπὶ τὴν α γ τεμοῦσιν ἐπ' αὐτῇ τὰς τομὰς, δι' ὧν γραφήσεται, τὰ πρὸς τῇ ὄψει τμήματα τῶν πέντε παραλλήλων, ὡς τὴν ψ, δι' ἧς γραφήσεται ὁ τοῦ διὰ τοῦ δ ἰσημερινοῦ. αἱ δὲ ἀπὸ τοῦ ω ἐπὶ τὸ λ καὶ ζ καὶ β καὶ θ καὶ κ ἐπιζευγνύμεναι, τεμοῦσι τὰς πρὸς τὴν α γ τομὰς. δι' ὧν γραφήσεται τὰ πέντε τῆς γῆς τμήματα τῶν αὐτῶν παραλλήλων. Ὁμοίως δὲ καὶ τῶν ἐν τῇ γῇ γραφησομένων παραλλήλων λαμβανόντων ὑπὸ τῶν π ρ τὰς οἰκείας τοῦ ἰσημερινοῦ ἀρχὰς, ὡς τὰς υ καὶ τ, τάς τε γινομένας τομὰς ἀπὸ τῶν ἐπ' αὐτὰς ἐπιζευγνυμένων εὐθειῶν ἀπὸ τοῦ ω τοῦ π χ ρ ἡμικυκλίου, καὶ τὰς ἀντικειμένας αὐτοῖς κατὰ παραλλήλους θέσεις, ἕξομεν δι' ὧν γραφήσεται τὰ τῶν εἰρημένων παραλλήλων τμήματα, ὥς τό τε α τ υ ϛ λ δ. ἀφ' ὧν ἀπολαμβανόντων τὰς τῶν ἐντεταχθησομένων ἐφ' ἑκάτερα τοῦ τ υ μεσημβρινῶν ἀρχὰς, καὶ ὑπὸ τοῦ φ χ εὐθείας ἐν τοῖς οἰκείοις τῶν τριῶν παραλλήλων λόγοις γραψόμεν διὰ τῶν ὁμολόγων τριῶν σημείων τμήματα τῶν ὑποκειμένων μεσημβρινῶν, ὡς τῶν ἀφοριζόντων τὸ μῆκος τό τε ϛ ζ η καὶ θ καὶ ε.

Τὸ μὲν οὖν πλῆθος τῶν ἐγγραφησομένων τῇ γῇ, πρὸς τὸ μέγα

τὸ μέγεθος τῆς καταγραφῆς, ἁρμόσιον. τῆς δὲ τῶν κρίκων παραβολῆς, ἐκεῖνα παρατηρητέον, ὅπως ἔρχηται μὲν ἕκαστος διὰ τῶν εἰρημένων τεσσάρων σημείων. σχήματι δὲ ὠοειδεῖ, καὶ μὴ εἰς ὀξὺ λήγοντι ἐν τοῖς πρὸς τὸν ἐξωτάτω κύκλον τομαῖς, ἵνα μὴ κατάματος παρὰ σχήματος φαντασίαν· ἀλλὰ κἂν τοῦτο τὴν σύμμετρον περίστασιν τοῖς ἐφεξῆς ἀπολαμβάνομεν, κἂν ἐκτὸς τοῦ περιέχοντος τὸ σχῆμα κύκλου πίπτωσιν αἱ τὴν ἔλλειψιν ἀποτελοῦσαι κυρτότητες. ὃ καὶ ἐπὶ τῶν ἀληθινῶν φαίνεται συμπίπτον. προσεκτέον δὲ ὅπως μὴ γραμμαὶ μόνον ὦσιν οἱ κύκλοι. μᾶλλον δέ τινος πλάτους συμμέτρου, καὶ χρώματος διαφέροντος. καὶ ἔτι τὰ πέρατα τῆς γῆς τμήματα σκιερώτερα ποιεῖν ἔχειν χρώματα τῶν πρὸς τῇ ὄψει. καὶ τῶν συμπιπτόντων τμημάτων τὰ πορρώτερω τῆς ὄψεως, ὑπὸ τῶν ἐγγυτέρω διακόπτεται τοῖς τῶν ἀληθινῶν ὑποθέσεσιν, ἀκολούθως ἐπί τε τῶν κρίκων καὶ ἐπὶ τῆς γῆς. καὶ ὁ ζωδιακὸς ἐπιπροσέχηται μὲν τῇ γῇ, κατὰ τὸ νοτιώτερον ἡμικύκλιον, καὶ διὰ τοῦ χειμερινοῦ τροπικοῦ. διακόπτηται δ᾽ ὑπ᾽ αὐτῆς κατὰ τὸ βόρειον καὶ διὰ τοῦ θερινοῦ τροπικοῦ. παραγράφομεν δὲ καὶ ἐπὶ τούτων ἐν τοῖς ἐπικαίροις τόποις τὰς οἰκείας ὀνομασίας. καὶ ἔτι ἐπὶ μὲν τῶν ἐν τῇ γῇ κύκλων, τοὺς ὑποδεδειγμένους ἐν τῇ καταγραφῇ τῆς οἰκουμένης ἀριθμοὺς ἀρχῶν τε καὶ ὡρῶν. περὶ δὲ τὸν ἔξω κύκλον, τὰς τῶν ἀνέμων προσηγορίας, ἀκολούθως τῷ ἐπὶ τῆς κρικωτῆς σφαίρας, παρὰ τοὺς ἐκκειμένους πλείονας παραλλήλους καὶ τοὺς πόλους διασημασίας.


Ὑπογραφὴ τοῦ ἐκπετάσματος.

Ὑπογραφὴ δ' ἔσται καὶ τῆς τοιαύτης ἐκπετάσεως, ἁρμόζουσά τε, καὶ κεφαλαιώδης ἡ τοιαύτη. ἡ τῆς κρικωτῆς σφαίρας ἐν ἐπιπέδῳ καταγραφή, μετὰ τῆς ἐμπεριλαμβανομένης γῆς ὑπόκειται, θέσιν ἔχουσα καθ' ἣν ἡ ὄψις ἐπ' εὐθείας ἔσται ταῖς κοιναῖς τομαῖς, τοῦ τε διὰ τῶν τροπικῶν σημείων μεσημβρινοῦ, ὑφ' ὃν ἐξετάζεται καὶ τὸ μῆκος τῆς καθ' ἡμᾶς οἰκουμένης διχοτομῶν· καὶ τοῦ διὰ συήνης ἐν τῇ γῇ γραφομένου παραλλήλου, διχῇ καὶ αὐτοῦ τέμνοντος ἐγγὺς τὸ πλάτος τῆς οἰκουμένης. οὕτως δὲ ἔχουσιν οἱ λόγοι, τῶν τε μεγεθῶν τῆς σφαίρας, καὶ τοῦ τῆς γῆς, καὶ τοῦ τῆς ὄψεως ἀποτμήματος, ὥς τε ἐν τῷ μεταξὺ διαλήμματι τοῦ τε κατὰ τὸν ἰσημερινὸν καὶ τοῦ κατὰ τὸν θερινὸν τροπικὸν ὅλον διαφαίνεσθαι τὸ ἐγνωσμένον μέρος τῆς γῆς, τοῦ νοτιωτέρου τῶν ἡμικυκλίων τοῦ διὰ μέσου τῶν ζῳδίων κειμένου, τοῦ καθεστηκότος ὑπὲρ γῆν. ἵνα δὲ μὴ δι' ὑπὸ τούτου τὶς ἐπιπρόσθεσις γίνηται τῆς οἰκουμένης, πρὸς τῷ βορειοτέρῳ τιθεμένης ἡμισφαιρίῳ, διόπερ οἱ μὲν εἰρημένοι μεσημβρινοί, μιᾶς εὐθείας τῆς κατ' αὐτὴν τὴν ἄξονα ποιοῦνται φαντασίαν, ἅτε τῆς ὄψεως ἐν τῷ δι' αὐτῶν ἐπιπέδῳ πιπτούσης· καὶ ἔτι ὁ διὰ συήνης ὡς ὀρθὸς πρὸς ἐκείνην μένῃ διὰ τὴν ὁμοίαν αἰτίαν. οἱ δὲ λοιποὶ κύκλοι ἐπεστραμμένοι, κατὰ τὰ κοῖλα φαίνονται τῆς εὐθείας. οἱ μὲν τῆς μεσημβρι-

νῆς

νῆς, διὰ τῶν πόλων. οἱ δὲ παράλληλοι, πρὸς τὴν διὰ τῆς συήνης, καὶ μᾶλλον οἱ πλεῖον αὐτῶν ἐφ᾽ ἑκάτερα διεστηκότες. ὡς ὁ μὲν ἀρκτικὸς μᾶλλον τοῦ θερινοῦ τροπικοῦ πρὸς τὰς ἄρκτους ἀνακεκλιμένος. ὁ δὲ χειμερινὸς τροπικὸς, μᾶλλον τοῦ ἰσημερινοῦ πρὸς μεσημβρίαν, καὶ ἔτι ὁ ἀνταρκτικὸς τοῦ χειμερινοῦ τροπικοῦ. διατίθεται δὲ καὶ τὸ ἐγνωσμένον τῆς γῆς μέρος, ὡς μὴ περιῤῥέοντος αὐτὸ τοῦ ὠκεανοῦ μηδαμόθεν, ἀλλὰ μόνοις παρακειμένου τοῖς πρὸς ἰάπυγα καὶ θρασκίαν γεγραμμένοις πέρασι, τῆς τε λιβύης καὶ τῆς εὐρώπης, ἀκολούθως ταῖς τῶν παλαιοτέρων ἱστορίαις.

Τοῦ ἑβδόμου
τέλος



ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ ΓΕΩΓΡΑΦΙΚΗΣ ΥΦΗΓΗΣΕΩΣ

ΒΙΒΛΙΟΝ Η

Τάδε ἔνεστιν ἐν τῷ ὀγδόῳ.

Μετὰ ποίας προθέσεως δεῖ ποιεῖσθαι, τὴν κατὰ τοὺς πίνακας διαίρεσιν τῆς οἰκουμένης.

Τίνα καθ᾽ ἕκαστον τῶν πινάκων ὑπογράφειν ἁρμόζει.


Ἔκθεσις πάντων τῶν ὑπογραφῶν ἐν αἷς περιέχονται

Εὐρώπης, πίνακες ι. χῶραι κβ. πόλεις ριη.

Λιβύης, πίνακες δ. χῶραι ζ. πόλεις μβ.

Ἀσίας μεγάλης. πίνακες ιβ. χῶραι μδ. πόλεις ρϛ.

Γίνονται ὁμοῦ τῆς ὅλης τῆς οἰκουμένης, πίνακες κϛ. χῶραι πγ. πόλεις τν.





ΜΕΤΑ ΠΟΙΑΣ ΠΡΟΘΕΣΕΩΣ ΔΕΙ ποιεῖσθαι, τὴν κατὰ τοὺς πίνακας διαίρεσιν τῆς οἰκουμένης.



ΣΑ μὲν οὖν ἐχρῆν εἰς τὴν γεωγραφικὴν ὑφήγησιν συνεισενεγκεῖν, ἔκ τε τῆς συνεχεστέρας διακριβώσεως, τῶν τὰς ἐκτετοπισμένας ἡμῖν χώρας περιελθόντων, καὶ τῆς εἰς τὸ προχειρότερον ἅμα καὶ οἰκειότερον τῆς καταγραφῆς μεταβολῆς, αὐτάρκως ἔχειν ἡγοῦμαι. τὸ γὰρ μεταλέγειν κατὰ τὸν αὐτὸν τρόπον τοῖς πρὸ ἡμῶν ὡς πρὸς μὲν κεφαλαίου διὰ τίνων τόπων ἕκαστος γράφεται τῶν ἐνταττομένων τῇ καταγραφῇ παραλλήλων καὶ μεσημβρινῶν, μὴ καὶ γελοῖον ᾖ, πάντων ἁπλῶς τῶν τόπων, καὶ τῶν μὴ πιπτόντων εἰς τοὺς ἐντεθειμένους κύκλους παρακειμένας ἐχόντων τὰς ἀποχὰς τῶν δι' αὐτῶν γραφομένων παραλλήλων τε καὶ μεσημβρινῶν. ἐπειδὴ τίς ἂν γένοιτο τῆς οἰκουμένης ἀπογραφὴ σύμμετρος ὅλης καθ' ἕνα πίνακα λαμβανομένης ὑπὸ ὄψιν ἡμῖν γέγονεν, ἀκόλουθόν ἐστι προεκθέσθαι τὰς δεομένας ἀπογραφὰς κεφαλαιωδῶς, εἰ διαιροῖμεν αὐτὴν εἰς πλείους πίνακας, ἕνεκεν τοῦ δύνασθαι πάντα τὰ ἐφοδευόμενα, καὶ μετὰ τῆς πρὸς τὸ εὐδηλότερον συμμετρίας κατατάσσειν. τοὺς μὲν γὰρ

γὰρ τῇ ὑφ' ἓν καταγραφῆς ἀναγκαῖον γίνεσθαι, διὰ τὸ δεῖν συντηρεῖν τοὺς πρὸς ἄλληλα τῶν μερῶν τῆς οἰκουμένης λόγους, τὰ μὲν στενοχωρεῖσθαι διὰ τὸ συνεχὲς τῶν ἐνταττομένων, τὰ δὲ παρέλκειν, ἀχρείᾳ τῶν ἐγγραφησομένων. ὅπερ οἱ πλεῖστοι περιϊστάμενοι πολλαχῇ διαστρέφειν ἠναγκάσθησαν, τά τε μέτρα καὶ τὰ σχήματα τῶν χώρων ὑπὸ τῶν πινάκων αὐτῶν ὥσπερ καὶ μὴ ὑπὸ τῆς ἱστορίας χειραγωγηθέντες. καθάπερ ὅσοι τὸ μὲν πλεῖστον μέρος τοῦ πίνακος, ἀπένειμαν τῇ εὐρώπῃ κατὰ τὸ μῆκος καὶ κατὰ τὸ πλάτος, διὰ τὸ πολύχουν καὶ πυκνὸν τῶν ἐνταττομένων. τὸ δ' ἐλάχιστον, τῇ μὲν ἀσίᾳ, κατὰ τὸ μῆκος, τῇ δὲ λιβύῃ, κατὰ τὸ πλάτος διὰ τὸ ἐναντίον. παρὰ γοῦν ταύτην τὴν αἰτίαν, τὸ μὲν ἰνδικὸν πέλαγος, μετὰ τὴν ταπροβάνην ὑπὸ τὰς ἄρκτους ἀπέστρεψαν, ἐνστάντος αὐτοῖς τοῦ πίνακος, πρὸς τὴν ὑπὸ τὰς ἀνατολὰς προχώρησιν, ἐπεὶ μηδὲν εἶχε τὸ τοιοῦτον ὑπὲρ τῆς ὑποκειμένης κατὰ τὸ βόρειον σκυθίας ἀντιπεριγράφειν. τὸν δὲ δυτικὸν ὠκεανὸν ὑπὸ τὰς ἀνατολὰς ἀπέστρεψαν πάλιν, ἐνστάντος αὐτοῖς τοῦ πίνακος ὑπὸ τὴν μεσημβρινὴν διάστασιν. ἐπεὶ μηδ' ἐνταῦθα τὸ τῆς ἐντὸς λιβύης βάθος ἢ τὸ τῆς ἰνδικῆς εἶχέ τι δυνάμενον κατὰ τὸ συνεχὲς ἀντιπαρατεθῆναι τῇ δυτικῇ παραλίᾳ. ὡς καὶ διὰ τὰ τοιαῦτα τὴν περὶ τοῦ περιῤῥεῖσθαι τὴν γῆν ὅλην ὑπὸ ὠκεανῷ δόξαν, ἄρξασθαι μὲν ἀπὸ γραφικῶν ἁμαρτημάτων, καταστρέψαι δὲ εἰς ἀσύστατον

ἱστορίαν

ἰσορίαν. ὑπὸ μέν τοι τῆς κατὰ πίνακας διαιρέσεως ἐκφύγοιμεν ἂν τὸ εἰρημένον σύμπτωμα, εἰ ποιοίμεθα τὰς διαιρέσεις οὕτως. ὥστε τὰς μὲν, πολυχωρίας τῶν χωρῶν, ἢ μόνας, ἢ μετ' ὀλίγων ἀπολαμβάνειν τὸν πίνακα, καὶ μείζοσι τῶν κύκλων διαστάσεσι. τὰς δὲ ἀπυκνώτους καὶ μὴ διειλημμένας ὅλας, μετὰ πλειόνων ὁμοίων ὑφ' ἑνὸς περιέχεσθαι πίνακος ἐν ἐλάττοσι τῶν κύκλων διαστάσεσιν. οὐδὲν γὰρ ἔτι δεῖ καὶ πάντας τοὺς πίνακας ἀλλήλοις εἶναι συμμέτρους. ἀλλὰ μόνα τὰ ἐν ἑκάστῳ διασώζειν τὴν πρὸς ἄλληλα τόπον. ὥσπερ ὅταν μόνην κεφαλὴν ὑπογράφωμεν τὰ μόνης τῆς κεφαλῆς. ἢ μόνην χεῖρα, τὰ μόνης τῆς χειρός. οὐκ ἔτι δὲ καὶ τὰ τῆς κεφαλῆς πρὸς τὰ τῆς χειρός. εἰ μὴ ὅταν ὑφ' ἓν σχῆμα ποιῶμεν ὅλον τὸν ἄνθρωπον. ἀλλ' ὃν περ τρόπον τὸ πᾶν οὐδὲν κωλύει ποτὲ μὲν, αὔξειν, ποτὲ δὲ μειοῦν, οὕτως οὐδὲ τῶν μερῶν ὅταν ᾖ καθ' αὑτά, τὰ μὲν αὔξειν, τὰ δὲ μειοῦν πρὸς τὰς τῶν ὑποτιθεμένων πινάκων εὐρυχωρίας. οὐ παρὰ πολὺ δὲ ἔσται τῆς ἀληθείας καθάπερ ἐν ἀρχῇ τῆς συντάξεως εἴπομεν, κἂν εὐθείας γραμμὰς ἀντὶ τῶν κύκλων, ὑπὸ γοῦν τῶν κατὰ μέρος πινάκων παραγράφωμεν. καὶ πρὸς ἔτι τὰς μεσημβρινὰς μὴ συννευούσας, ἀλλὰ καὶ αὐτὰς παραλλήλους ἀλλήλαις. ὑπὸ μὲν γὰρ τῆς ὅλης οἰκουμένης οἱ τοῦ πλάτους καὶ τοῦ μήκους ὅροι, κατὰ μεγάλας λαμβανόμενοι διαστάσεις, ἀξιολόγους ποιοῦσι τὰς τῶν ἄκρων κύκλων παραλλαγάς.

ὑπὲρ δὲ ἑκάστου τῶν πινάκων οὐκ ἔτι. διὸ καὶ κατὰ τὸν λόγον τοῦ δίχα τέμνοντος τὸν πίνακα παραλλήλου πρὸς τὸν μέγιστον κύκλον, ἐλέγομεν δεῖν ποιεῖσθαι τὰς μοιριαίας παραβολάς. ἵνα μηδὲ τὴν παρ' ὅλην τὴν διάστασιν τοῦ πίνακος ἔνδεον ἐπιζητῶμεν, ἀλλὰ μόνον τὴν ἀπὸ τοῦ μεταξὺ πρὸς τὸ ἕτερον πέρας τοῦ πίνακος.

Τίνα καθ' ἕκαστον τῶν πινάκων ὑπογράφειν ἁρμόζει.

ΤΗς τοιαύτης τοίνυν περιθέσεως ἐπερχόμενοι τὰς διαιρέσεις, τῆς μὲν τῆς εὐρώπης ἐποιησάμεθα πίνακας δέκα, τῆς λιβύης πίνακας τέσσαρας. τῆς δὲ ὅλης ἀσίας πίνακας δώδεκα. τὰς δὲ καθ' ἕκαστον ὑπογραφὰς ἐξεθέμεθα, προτάσσοντες μὲν τίνος τέ ἐστιν ὁ πίναξ ἠπείρου, καὶ πόστος, καὶ τίνας περιέχει χώρας, καὶ τίνα λόγον ἔχει ὁ διὰ μέσου αὐτοῦ ὢν ἐγγὺς πρὸς τὸν μεσημβρινόν, καὶ τίς ὅλου τοῦ πίνακος γίνεται περιορισμός. ὑποτάσσοντες δὲ τῶν καθ' ἑκάστην χώραν διασήμων πόλεων, τὰ μὲν ἐξάρματα μετειλημμένα εἰς τὰ μεγέθη τῶν ἐν αὐτοῖς μεγίστων ἡμερῶν. τὰς δὲ κατὰ μῆκος ἐποχὰς, εἰς τὰς ἀπὸ τοῦ δι' ἀλεξανδρείας μεσημβρινοῦ διαστάσεις, ἤτοι πρὸς ἀνατολὰς ἢ πρὸς δυσμὰς μεγέθεσι τῶν ἐγγὺς ὡρῶν ἰσημερινῶν. καὶ ὧν ὁ ζωδιακὸς ὑπόκειται, πότερον ἅπαξ, ἢ δὶς ὁ ἥλιος γίνεται κατὰ κορυ-

φὴν

φὴν, καὶ πῶς διακείμενον πρὸς τὰς τροπάς. προσεθήκαμεν δ' ἄν, καὶ τίνας τῶν ἀπλανῶν ἔχουσιν ἐπὶ τῶν κατὰ κορυφὴν τόπων, εἰ συνετηροῦντο ἐφαίνοντο τὰ πρὸς τὸν ἰσημερινὸν πολεύοντα. τουτέστιν, εἰ διὰ τῶν αὐτῶν ἀεὶ παραλλήλων ἐφέροντο. ἐπειδήπερ ἀπεδείξαμεν ἐν τῇ μαθηματικῇ συντάξει, ὅτι μεταπίπτει τε καὶ ἡ τῶν ἀπλανῶν σφαῖρα εἰς τὰ ἑπόμενα τοῦ κόσμου παρὰ τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα, καὶ οὐ περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους, ἀλλὰ περὶ τοὺς τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου, καθάπερ καὶ αἱ τῶν πλανωμένων· ὡς διὰ τοῦτο μὴ δύνασθαι τοὺς αὐτοὺς ἀστέρας τῶν αὐτῶν τόπων ἀεὶ γίνεσθαι κατὰ κορυφὴν, ἀλλὰ μεταχωρεῖν ἐξ ἀνάγκης· τοὺς μὲν, αὐτῶν ἐπὶ τοὺς βορειοτέρους τόπους τῶν προτέρων, τοὺς δὲ ἐπὶ τοὺς νοτιωτέρους· παρέλκειν ἡμῖν ἔδοξεν ἡ τοιαύτη προσθήκη τῆς ὑπογραφῆς, δέον ἐπὶ τῆς κατὰ τὴν τοιαύτην ὑπόθεσιν ἀστεριζομένης ἡμῖν σφαίρας, τὴν ἐν τοῖς ἐπιζητουμένοις χρόνοις θέσιν αὐτῆς πρὸς τὸν διὰ ἀμφοτέρων τῶν πόλων κύκλον καθεστῶτας καὶ περιφέροντας ὅλην παρὰ τὴν τοῦ μένοντος μεσημβρινοῦ διηρημένην περιφερὰν σκοπεῖν τὸ σημεῖον αὐτοῦ· τὸ τοσαύτας ἀπέχον τοῦ ἰσημερινοῦ μοίρας, ὅσας καὶ ὁ διὰ τοῦ ζητουμένου τόπου ἐπὶ τὰ αὐτὰ μέρη, καὶ λαμβάνειν περιχείρως. εἴτε μηδ' ὅλως τις ἐνεχθήσεται δι' ἐκείνου τοῦ σημείου τῶν ἀπλανῶν, εἴτε εἰσὶ πλείους. καὶ τίς, ἢ τίνες. τούτων δὴ προδιωρισμένων, ἀρκτέον τῆς λοιπῆς προθέσεως ἐντεῦθεν.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Α

Ὁ Πρῶτος πίναξ τῆς εὐρώπης περιέχει τὰς βρεττανικὰς νήσους, σὺν ταῖς περὶ αὐταῖς νήσοις. ὁ δὲ διὰ μέσου αὐτῶν παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ια ἔγγιστα πρὸς τὰ κ. περιορίζεται δὲ ὁ πίναξ πάντοθεν ὠκεανῷ. ἀπὸ μὲν ἀνατολῶν, γερμανικῷ. ἀπὸ δὲ μεσημβρίας, βρεττανικῷ. καὶ τῷ καλουμένῳ, οὐεργιουίῳ. Ἀπὸ δὲ δύσεως τῷ δυτικῷ. ἀπὸ δὲ ἄρκτων ὑπερβορείῳ, καὶ τῷ καλουμένῳ δουηκαληδονίῳ. ἡ μὲν οὖν θούλη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν κ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δυσμὰς, ὥρας ἰσημερινὰς α, ἔχει δὲ μοίρας ια νη. Τῆς δὲ ἰουερνίας νήσου αἱ ἐπίσημοι πόλεις. ἡ μὲν ὁμώνυμος τῇ νήσῳ, πόλις ἰουερνὶς, τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιη, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δυσμὰς, ὥραις τρισὶ καὶ τετάρτῳ. Ἡ δὲ ῥαίβα τὴν μεγάλην ἡμέραν ἔχει ὡρῶν ιη ∠' ιβ'. καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις τρισὶ καὶ πέμπτῳ. Τῆς δὲ ἀλουίωνος νήσου, τὸ μὲν λονδίνιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιη, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις δυσὶ καὶ ϛο'. Τὸ δὲ ἐβόρακον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιζ ∠' γ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥρας α γ'. Τὸ δὲ καταρρακτόνιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιη, καὶ διέ-

στηκεν

στηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥρας ᾱ γ΄. Τὸ δὲ ὠτόβωρον στρατόπεδον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιη ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις ᾱ ς΄. Δούμνα δὲ ἡ νῆσος, ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιθ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις ᾱ. Ἡ δὲ θουλῆ νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ις γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις δυσὶ, τρίτῳ.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Β

Ὁ δεύτερος πίναξ τῆς εὐρώπης, περιέχει τὴν ἱσπανίαν πᾶσαν ἐν ταῖς τρισὶν ἐπαρχίαις σὺν ταῖς παρακειμέναις νήσοις. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ̄ πρὸς τὰ δ̄ ἐγγύς. περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν, τοῖς πυρηναίοις ὄρεσιν. ἀπὸ δὲ μεσημβρίας, τῷ τε βαλιαρικῷ πελάγει, καὶ τῷ ἰβηρικῷ, καὶ τῷ ἡρακλείῳ πορθμῷ, μέχρι τῆς ἔξω θαλάσσης. ἀπὸ δὲ δύσεως, τῷ δυτικῷ ὠκεανῷ. ἀπὸ δὲ ἄρκτων, καντάβρῳ ὠκεανῷ. Τῆς μὲν οὖν λουσιτανίας ἐπαρχίας, ἡ μὲν νώρβα καισάρεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιδ ∠΄ γ΄ ιβ΄ καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ἰσημεριναῖς γ̄ καὶ ∠΄. Ἡ δὲ αὐγοῦσα ἡμερίτα, τὴν μεγίστην ἔχει ὡρῶν ιδ ∠΄ γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις

ὥραις γ̄ ∠΄. Τῆς δὲ βαιτικῆς, ἡ μὲν ἰσπαλὶς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ς΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ∠΄ κ΄. Ἡ δὲ κορδύβη τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ γ΄ ιβ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ γ΄ ιε΄. Τῆς δὲ ταρρακωνησίας, ἡ μὲν ἀστυρίκα αὐγοῦστα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ΄ ιβ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ γ΄ ιε΄. Ἡ δὲ νέα καρχηδὼν, ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς Δύσεις ὥραις γ ς΄. Ἡ δὲ ταρράκων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ἔγγιστα, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς Δύσεις ὥραις ια ∠΄ γ΄ ιβ΄. Ἡ δὲ κλουνία, τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ς΄. Ἡ δὲ καισάρεια αὐγοῦστα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ιβ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ιε΄. Γάδειρα δὲ ἡ νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ς΄.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Γ

Ὁ τρίτος πίναξ τῆς εὐρώπης, περιέχει τὰς γαλλίας ἐν τέτρασιν ἐπαρχίαις σὺν ταῖς παρακειμέναις νήσοις. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ια, πρὸς τὰ ις. περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν, γερμανίᾳ μεγάλῃ, ἰταλίᾳ

λία καὶ ῥαιτία. ἀπὸ δὲ μεσημβρίας, τῇ γαλλικῇ θαλάσσῃ. ἀπὸ δὲ δύσεως, τοῖς πυρηναίοις ὄρεσι καὶ τοῦ ἀκουιτανικοῦ κόλπῳ. ἀπὸ δὲ ἄρκτων, τῷ βρεττανικῷ ὠκεανῷ. Τῆς μὲν οὖν ἀκουιτανίας κελτογαλατίας, τὸ μὲν μεδιολάνιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠ʹ δʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ἰσημερινὰς ᾱ ϛʹ. Η δὲ βουρδίγαλα τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠ʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠ʹ ϛʹ. Τῆς δὲ λουγδουνησίας γαλλίας, τὸ μὲν αὐγουστόδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠ʹ δʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ϛʹ ιβʹ. Η δὲ λούγδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠ʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠ʹ. Τῆς δὲ βελγικῆς γαλλίας, τὸ μὲν σκοτιακὸν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιϛ̅ ∠ʹ ϛʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠ʹ λʹ. Τὸ δὲ δουροκόττορον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιϛ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ϛʹ ιβʹ. Τῆς δὲ ναρβωνησίας κελτογαλατίας, ἡ μὲν μασσαλία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̅ δʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ϛʹ ιεʹ. Η δὲ νάρβων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ δʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠ʹ ιβʹ. Η δὲ βίεννα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̅ ∠ʹ. καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠ʹ. Η δὲ νέμαυσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ϛʹ ιεʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠ʹ ιεʹ.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Δ

Ὁ Τέταρτος πίναξ τῆς εὐρώπης, περιέχει τὴν μεγάλην γερμανίαν σὺν ταῖς περὶ αὐτὴν νήσοις. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος, λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ̄ πρὸς τὰ ε̄. περιορίζεται δὲ ὁ πίναξ. ἀπὸ μὲν ἀνατολῶν, ἰάζυξι μετανάσταις, καὶ σαρματίᾳ τῇ ἐν εὐρώπῃ. ἀπὸ δὲ μεσημβρίας, ῥαιτίᾳ καὶ νωρίκῳ, καὶ δυσὶ παννονίαις. ἀπὸ δὲ δυσμῶν τῇ διὰ ῥήνου τοῦ γαλλίᾳ τῇ βελγικῇ. ἀπὸ δὲ ἄρκτων, γερμανικῷ ὠκεανῷ. Τῶν δὲ ἐν τῇ γερμανίᾳ διασήμων πόλεων, ἡ μὲν ἀμείσεια, τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιϛ ∠'. καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις ᾱ. Ἡ δὲ λουππία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιϛ̄ ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις ᾱ γ'. Τὸ δὲ ἐβουρόδουνον ἔχει τὴν μεγίστην ἡμέραν, ὡρῶν ιε̄ ∠' γ' ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις, ὥραις ᾱ ϛ' ιβ'. Ἡ δὲ σκανδία νῆσος, ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιη̄, καὶ διέστηκεν ἀλεξανδρείας καὶ δύσεως, ὥρᾳ μιᾷ.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Ε

Ὁ Πέμπτος πίναξ τῆς εὐρώπης, περιέχει ῥαιτίαν, καὶ οὐινδελικίαν, καὶ νώρικον, καὶ τὰς δύο παννονίας, καὶ τὴν ἰλλυρίδα πᾶσαν σὺν ταῖς παρα

κειμέναις νήσοις. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει
πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ μγ' πρὸς τὰ ξ. περιο-
ρίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν ἰάζυξι μετανά-
σταις καὶ μυσίᾳ τῇ ἄνω. ἀπὸ δὲ μεσημβρίας, ἰταλίᾳ,
καὶ ἀδρίου κόλπου, καὶ μακεδονίας μέρεσιν. ἀπὸ δὲ
δυσμῶν, γαλλίας καὶ γερμανίας μέρεσιν. ἀπὸ δὲ ἄρ-
κτων τῇ μεγάλῃ γερμανίᾳ διὰ τοῦ τοῦ δανουβίου.
Τῆς μὲν οὖν ῥαιτίας, τὸ μὲν βριγάντιον τὴν μεγίστην
ἡμέραν ἔχει ὡρῶν ιε γ', καὶ διέστηκεν ἀλεξαν-
δρείας πρὸς δύσεις ὥραις ᾱ. Ἡ δὲ αὐγοῦστα οὐινδε-
λικῶν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε γ', καὶ
διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ∠' ς'.
Τοῦ δὲ νωρικοῦ, ἡ μὲν ἀρελάτη τὴν μεγίστην ἡμέραν
ἔχει ὡρῶν ιε ∠' δ', καὶ διέστηκεν ἀλεξανδρείας
πρὸς δύσεις ὥραις α γ'. Τὸ δὲ ἰούλιον κάρνικον ἔ-
χει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ∠', καὶ διέστη-
κεν ἀλεξανδρείας πρὸς Δύσεις ὥραις α γ' ιε'.
Τῆς δὲ ἄνω παννονίας, ἡ μὲν βαιτυβίων ἔχει τὴν με-
γίστην ἡμέραν ὡρῶν ιε ∠' ιβ', καὶ διέστηκεν ἀλε-
ξανδρείας πρὸς δύσεις ὥραις ᾱ ∠'. Ἡ δὲ σκαρ-
βαντία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ∠' γ',
καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ς'.
Ἡ δὲ ἠμῶνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε
∠' γ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς Δύσεις ὥ-
ραις ᾱ ∠' ιε'. Τῆς δὲ κάτω παννονίας, τὸ μὲν σερ-
βίνον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠' δ'.

καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ε΄ ιβ΄. Ἡ δὲ μουρσία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠΄ η΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ς΄. Τὸ δὲ σίρμιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ιε΄. Τῆς δὲ ἰλλυρίδος, ἡ μὲν ἰάδερα τῆς λιβουρνίας τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ε΄. Ἡ δὲ σιδρῶνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ΄ ιβ΄. καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ η΄. Αἱ δὲ σαλῶναι τῆς δαλματίας ἔχουσι τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ δ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ η΄. Ἡ δὲ νάρωνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ιε΄. Ἡ δὲ σκαρδῶνα νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ ε΄ ιε΄.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ ς̄

Ὁ Ἕκτος πίναξ τῆς εὐρώπης, περιέχει ἰταλίαν ὅλην, καὶ τὴν κύρνον νῆσον, καὶ τὰς περὶ αὐτὰς νήσους. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ̄ πρὸς τὰ Δ. περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν ἀδρίᾳ κόλ-

πῳ

πῳ καὶ ἰονίῳ πελάγει. ἀπὸ δὲ μεσημβρίας λιγυστικῷ πελάγει καὶ τυῤῥηνικῷ, καὶ μέρει τοῦ ἀδριατικοῦ. ἀπὸ δὲ δυσμῶν ἀλπίοις ὄρεσι καὶ γαλλίᾳ. ἀπὸ δὲ ἄρκτων τοῖς τε ἀπὸ τῆς ῥαιτίας καὶ οὐινδελικίας ἀλπίοις ὄρεσι, καὶ ἔτι ἀπὸ τοῦ νωρικὸν ἀλπίῳ ὄρει καὶ λοιμένῳ τε καρουάγκᾳ, καὶ μέρει τοῦ ἀδρίου κόλπου. Τῶν μὲν οὖν ἐν τῇ ἰταλίᾳ ἐπισήμων πόλεων, ἡ μὲν βασίλειον ῥώμη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ιε ιβ´, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μεσημβρινὰς α ∠´ η´. Η δὲ νίκαια μασσαλιωτῶν τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε δ´. καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α η´. Αἱ δὲ ταῤῥακῖναι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιε ιβ´, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ∠´. Η δὲ νεάπολις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ιδ ∠´ γ´ ιβ´, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α γ´. Τὸ δὲ βρεντέσιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠´ γ´, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ς´. Ο δὲ ἀγκὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν μεσημβρινῶν ιε γ´, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α καὶ ιε´. Η δὲ ῥαουέννα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ιε γ´ ιβ´, καὶ Διέστηκεν ἀλεξανδρείας πρὸς Δύσεις ὥραις α γ´ ιε´. Η Δὲ ἀκυληΐα τὴν μεγίστην ἡμέραν

ἔχει ὡρῶν ιε ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ∠΄ δ΄. Ἡ δὲ βενεβεντὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ιβ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ιε΄. Ἡ δὲ καπύη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ιβ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α γ΄. Τῆς δὲ κύρνου νήσου, ἡ μὲν ἀλερία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠΄ γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ἔγγιστα. Ἡ δὲ μαριανὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ἔγγιστα.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Ζ

Ο Ἕβδομος πίναξ τῆς εὐρώπης, περιέχει σαρδὼ, σικελίαν, καὶ τὰς περὶ αὐτὰς νήσους. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος, λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ δ πρὸς τὰ ε. περιορίζεται δὲ ὁ πίναξ πάντοθεν πελάγεσιν. ἀπὸ μὲν ἀνατολῶν, τοῦ ἀδριατικοῦ. ἀπὸ δὲ μεσημβρίας, τοῦ ἀφρικανικοῦ. ἀπὸ δὲ δύσεως, τοῦ σαρδῴου. ἀπὸ δὲ ἄρκτων, λιγυστικοῦ, καὶ τυῤῥηνικοῦ. Τῆς μὲν οὖν σαρδοῦς νήσου, οἱ μὲν σοῦλκοι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ἰσημερινῶν ιδ ∠΄ ιβ΄, καὶ διεστήκασιν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ἰσημερινὰς α ἔγγιστα. Ἡ δὲ κάραλις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠΄, καὶ διέ-

στηκεν

στηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ∠΄ γ΄. Ὁ δὲ πύργος λιβίσωνος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠΄ δ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ἔγγιστα. Ἡ δὲ γόργυλις ἡ νέα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ γ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ἔγγιστα. Τῆς δὲ σικελίας, τὸ μὲν λιλύβαιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠΄ ιε΄. Αἱ δὲ συράκουσαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ̄ ∠΄ ιβ΄, καὶ διεστήκασιν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ γ΄ ιε΄. Ἡ δὲ μεσσήνη, τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠΄ δ΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ γ΄ ιε΄. Αἱ δὲ κεντουρῖπαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ̄ γ΄. καὶ διεστήκασιν ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ γ΄ η΄. Ἡ δὲ σεγέστα τὴν μεγάλην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ∠΄ ιε΄. Ἡ δὲ κατάνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γ΄ ιε΄.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Η

Ὁ ὄγδοος πίναξ τῆς εὐρώπης, περιέχει τὴν ἐν αὐτῇ σαρματίαν, καὶ τὴν ταυρικὴν χερσόν

νήσου. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ια πρὸς τὰ κ. περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν βοσπόρῳ κιμμερικῷ καὶ μαιώτιδι λίμνῃ. καὶ ταναΐδι ποταμῷ κατὰ τὴν ἐν τῇ ἀσίᾳ σαρματίαν. ἀπὸ δὲ μεσημβρίας ποντικῇ θαλάσσῃ, καὶ μυσίας τῆς κάτω μέρει, καὶ δακίᾳ, καὶ ἰάζυξι μετανάσταις. ἀπὸ δὲ δύσεως τοῖς καλουμένοις σαρματικοῖς ὄρεσι, καὶ γερμανίᾳ, καὶ οὐϊστούλᾳ ποταμῷ. ἀπὸ δὲ ἄρκτων οὐενεδικῷ κόλπῳ τοῦ σαρματικοῦ ὠκεανοῦ, καὶ ἔτι ἀγνώστῳ γῇ. Τῶν δὲ διασημοτέρων ἐν τῇ σαρματίᾳ πόλεων, ἡ μὲν ταμυράκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ιϛ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ἰσημερινῆς μέρος ιε'. Τὸ δὲ ναύαρον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιϛ δ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς Δύσεις μιᾶς ὥρας ὀγδόῳ. Η δὲ ὀλβία, ἡ καὶ βορυσθενὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιϛ ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ε'. Τῆς δὲ ταυρικῆς χερσονήσου ἡ μὲν θεοδοσία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠' γ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς ε'. Η δὲ παντικάπαια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠' γ' ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας δ'.

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Θ

Ο Ἔνατος πίναξ τῆς εὐρώπης, περιέχει ἰάζυγας μετανάστας καὶ δακίαν, καὶ τὰς δύο μυσίας καὶ θρᾴκην καὶ χερσόννησον. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ μγ πρὸς τὰ ξ. περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν τῇ ποντικῇ θαλάσσῃ καὶ θρακίῳ βοσπόρῳ καὶ προποντίδι καὶ ἑλλησπόντῳ. ἀπὸ δὲ μεσημβρίας αἰγαίῳ πελάγει καὶ μακεδονίᾳ. ἀπὸ δὲ δύσεως παννονίᾳ τῇ κάτω καὶ δαλματίᾳ, ἀπὸ δὲ ἄρκτων, σαρματίᾳ τῇ ἐν εὐρώπῃ. Τὸ μὲν οὖν βορμανὸν τῶν ἰαζύγων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιϛ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ιβʹ. Τῆς δὲ δακίας, αἱ μὲν σαλῖναι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιε ∠ʹ γʹ, καὶ διεστήκεισαν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ʹ γʹ. Ἡ δὲ ζαρμιζεγέθουσα τὸ βασίλειον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ∠ʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ∠ʹ γʹ. Τῆς δὲ μυσίας τῆς ἄνω, ἡ μὲν ῥαιτιαρία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ιε δʹ, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς Δύσεις ὥρας μιᾶς ∠ʹ δʹ. Οἱ δὲ σκοῦποι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιε εʹ, καὶ διεστήκεισαν ἀλεξανδρείας πρὸς Δύσεις ὥρας μιᾶς ∠ʹ καὶ δʹ. Τῆς Δὲ μυσίας τῆς κάτω, ἡ μὲν ὀδησσὸς ἔχει τὴν μεγίστην

ἡμέραν

ἡμέραν ὡρῶν ιε ∠', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γ'. Ἡ δὲ οἰσκὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε δ' κ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠' ιβ'. Τῆς δὲ θρᾳκης, ἡ μὲν αἶνος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ γ' ιε'. Ἡ δὲ ἀπολλωνία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε γ' ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γ'. Τὸ δὲ βυζάντιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε δ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας δ'. Ἡ δὲ πέρινθος ἔχει τὴν μεγίστην ὡρῶν ιε ϛ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ γ'. Ἡ δὲ νικόπολις τὴν μεγίστην ἔχει ὡρῶν ιε ϛ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠' ιε'. Ἡ δὲ λυσιμαχία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ γ' ιε'. Ἡ δὲ προκόννησος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ∠', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς τὸ γ'. Τῆς δὲ χερσονήσου, ἡ μὲν ἐλαιοῦς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γ ιε'. Ἡ δὲ σηστὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ∠', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ γ'.

Εὐρώπης

ΕΥΡΩΠΗΣ ΠΙΝΑΞ Ι

Ὁ Δέκατος πίναξ καὶ τελευταῖος τῆς εὐρώπης, περιέχει μακεδονίαν καὶ τὴν ἤπειρον καὶ τὴν ἀχαΐαν καὶ τὴν πελοπόννησον καὶ τὴν κρήτην καὶ τὴν εὔβοιαν, σὺν ταῖς περὶ αὐτὰς νήσοις. ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει, ὃν τὰ ζ̄ πρὸς τὰ θ̄. περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν αἰγαίῳ πελάγει καὶ μυρτῴῳ καὶ καρπαθίῳ. ἀπὸ δὲ μεσημβρίας ἀδριατικῷ πελάγει καὶ λιβυκῷ. ἀπὸ δὲ δύσεως ἰονίῳ πελάγει καὶ ἀδριατικῷ. ἀπὸ δὲ ἄρκτων δαλματίᾳ καὶ μυσίᾳ τῇ ἄνω καὶ θρᾴκῃ. Τῶν μὲν οὖν ἐν τῇ μακεδονίᾳ διασήμων πόλεων, ἡ μὲν δυρράχιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν μεσημβρινῶν ιε̄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας διμοίρῳ. Η δὲ θεσσαλονίκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠' ιβ', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς διμοίρῳ. Η δὲ ἀμφίπολις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ γ̄ ιε'. Η δὲ ἡράκλεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ η', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ἡμίσει καὶ γ'. Η δὲ ἔδεσσα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠' γ' ι', καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γ' η'. Η δὲ πέλλα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠' γ' ιβ'

ἔγγιστα, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥ-
ρας τὸ γ̄ ιε΄. Ἡ δὲ λάρισσα τῶν πελασγῶν ἔχει
τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠΄ δ΄, καὶ διέστη-
κεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ∠΄ ιε΄. Ἡ δὲ
κασσάνδρεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄
∠΄ γ΄ ιε΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις
ὥρας μιᾶς ∠΄ η΄. Ἡ δὲ λῆμνος νῆσος ἔχει τὴν
μεγίστην ἡμέραν ὡρῶν ιε̄, καὶ διέστηκεν ἀλεξαν-
δρείας πρὸς δύσεις ὥρας τὸ ∠΄ λ΄. Τῆς δὲ ἠπεί-
ρου, ἡ μὲν νικόπολις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν
ιδ̄ ∠΄ η΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις
ὥρας τὸ γ΄ ε΄. Ἡ δὲ ἀμβρακία τὴν μεγίστην ἡμέ-
ραν ἔχει ὡρῶν ιδ̄ ∠΄ δ΄, καὶ διέστηκεν ἀλεξαν-
δρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠΄ γ΄. Ἡ δὲ ἐν
τῇ κορκύρᾳ νήσῳ πόλις ὁμώνυμος ἔχει τὴν μεγί-
στην ἡμέραν ὡρῶν ιδ̄ ∠΄ η΄, καὶ διέστηκεν ἀλεξαν-
δρείας πρὸς δύσεις ὥρᾳ ᾱ. Ἡ δὲ κεφαλληνία νῆ-
σος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠΄ ιβ΄.
καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας ϛ΄ ε΄.
Τῆς δὲ ἀχαΐας, αἱ μὲν βοιώτιαι θῆβαι τὴν μεγίστην
ἡμέραν ἔχουσιν ὡρῶν ιδ̄ ∠΄ δ΄, καὶ διεστήκασιν
ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠΄. Τὰ δὲ
μέγαρα τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ̄ ∠΄
η΄, καὶ διέστηκεν ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ
∠΄ ιε΄. Αἱ δὲ ἀθῆναι τὴν μεγίστην ἡμέραν ἔχουσιν
ὡρῶν ιδ̄ ∠΄ ιβ΄. καὶ διεστήκασιν ἀλεξανδρείας
πρὸς

